# Δ΄. ΕΚ ΤΩΝ ΤΟΥ ΘΕΙΟΥ ΚΑΙ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Ὁ Μέγας Βασίλειος ἐκ γονέων ἐπιφανῶν, ἦν Ἐπίσκοπος Καισαρείας Καππαδοκίας, ἀ-
μασε κατὰ τὸν τέταρτον αἰῶνα Μ. Χ. Ἔγραψε δὲ διαφόρους ἐκκλησιαστικὰς καὶ ἀσκη-
τικὰς ὁμιλίας, θαυμαζομένας διὰ τὸ ἐπικρατοῦν ἐν αὐταῖς ἀληθὲς εὐσεβείας πνεῦμα, καὶ
διὰ τὴν χάριν τοῦ λόγου.

## ΟΜΙΛΙΑ

### ῬΗΘΕΙΣΑ ΕΝ ΛΙΜΩ ΚΑΙ ΑΥΧΜΩ

» ΛΕΩΝ ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται[1]; Κύριος ὁ θεὸς ἐλάλησε,
» καὶ τίς οὐ προφητεύσει; « Προφητικὸν ποιήσωμεν τὸ τοῦ λόγου προοίμιον
καὶ τὸν θεοφορούμενον[2] Ἀμὼς συνεργὸν εἰς τὴν τῶν προκειμένων χρείαν
παραλάβωμεν, τὰ ὅμοια τῶν ἡμῖν ἐνοχλούντων κακῶν[3] θεραπεύσαντα πά-
θη, τὴν ὑπὲρ τῶν συμφερόντων βουλήν τε καὶ γνώμην ἐκτιθέμενοι. Καὶ γὰρ
αὐτὸς ὁ προφήτης ἐν τῇ φορᾷ[4] τῶν ἀνωτέρω χρόνων, τοῦ λαοῦ καταλι-
πόντος τὴν πατρῴαν εὐσέβειαν, καὶ πατήσαντος μὲν τὴν τῶν νόμων ἀκρί-
βειαν, εἰς δὲ τὴν τῶν εἰδώλων θεραπείαν ὑπολισθήσαντος[5], κῆρυξ ἐγένετο
μετανοίας, τὴν ἐπιστροφὴν παραινῶν, καὶ τῶν τιμωριῶν προφέρων τὴν
ἀπειλήν. Ἐμοὶ δὲ δι' εὐχῆς ἀγέσθω[6] τὸ μέχρι μέν τινος τῷ ζήλῳ τῆς πα-
λαιᾶς ἱστορίας προσχρῆσθαι[7], μηκέτι μέν τοι καὶ τὴν ἔκβασιν τῶν τότε
γενομένων ἰδεῖν ἀκόλουθον. Ἀπειθήσας γὰρ ὁ λαός, καὶ ὥσπερ πῶλος σκλη-
ρὸς καὶ δυσήνιος[8] ἐνδακὼν τὸν χαλινόν, οὐχ εἱλκύσθη πρὸς τὸ συμφέρον
ἐκτραπεὶς δὲ τῆς εὐθείας[9], τοσοῦτον ἔδραμεν ἄτακτα, καὶ τοῦ ἡνιόχου κα-
τεφρυάξατο[10], μέχρις οὗ τοῖς βαράθροις καὶ τοῖς κρημνοῖς ἐκπεσών, ἀξίαν
τῆς δυσπειθείας τὴν πανωλεθρίαν[11] ὑπέμεινεν· ὃ μὴ γένοιτο νῦν ἐφ' ἡμῶν[12],
παῖδες ἐμοί, οὓς διὰ τοῦ εὐαγγελίου ἐγέννησα[13], οὓς διὰ τῆς εὐλογίας τῶν
χειρῶν ἐσπαργάνωσα· ἀλλ' ἔστω ἀκοὴ εὐγνώμων[14], ψυχὴ εὐπειθής, ἁπαλῶς
δεχομένη τὰς παραινέσεις, εἴκουσα τῷ λέγοντι[15], ὡς κηρὸς τῷ σφραγίζοντι,

[1]) Ἐλήφθη ἐκ τοῦ προφήτου Ἀμὼς Κεφ. Γ΄, ἐδάφ. 8. [2]) Τὸν θεόπνευστον. [3]) Τὰ ὅμοια
... εἰς τὴν καλὴν ἐποχὴν τῆς γλ... ἐσυντάσσοντο μὲ δοτικήν. Κ. § 340, γ΄. Ἐδῶ
δὲ μὲ γεν. ὡς καὶ παρ' ἡμῖν. [4]) Σ... ὡς παρ' ἡμῖν. Εἰς τὴν φορὰν ἐκείνην τῶν πα-
ρελθόντων χρόνων, εἰς τὴν πάροδον τ... ...νων. [5]) Ἐγλίστρησε, παρεξέκλινε.
[6]) Δι' εὐχῆς ἀγωνιζόμαι... Ἡ πρ... ...ὴ ἐδῶ ἀντὶ ὁριστικῆς. Ἂς εὐχηθῶ, ἀντὶ: εὔ-
χομαι. [7]) Νὰ ζηλώσωμεν τὴν ἀρχ... ...νὰ πράξωμεν κατ' αὐτήν. [8]) Μὴ πειθόμενος
εἰς τὰς ἡνίας. [9]) Ὁδοῦ. [10]) Ἐφρ... ...ὁ ἦν. [11]) Ολ. Ὄλεθρος. [12]) Δηλ. ἐφαρμο-
ζόμενον εἰς ἡμᾶς. [13]) Διότι ὡς εὐσεβ... ...παιδευμένος ἱεράρχης τοῖς ἐδίδαξεν ἐπ' ἄμβ-
ωνος τὸ εὐαγγέλιον. [14]) Ἔσω (ὑμῖν). ...ματά με μετ' εὐνοίας. [15]) Δεχομένη τὸν λό-
γον ὡς ὁ κηρὸς τὴν σφραγῖδα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επιμ. Αθ. Κ. τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἵνα διὰ μιᾶς ταύτης σπουδῆς, κἀγὼ λάβω καρπὸν τῶν πονουμένων[46] εὐφραίνοντα, καὶ ὑμεῖς ἐν καιρῷ τῆς ἀπαλλαγῆς[47] τὸν μισθόν, τὴν γενομένην παραίνεσιν ἐπαινέσαντες.

Τί οὖν ἐστιν ὅπερ ἐνδείκνυται[48] μὲν ὁ λόγος, ἔτι δὲ μετεώρους κατέχει τὰς ψυχὰς τῇ ἐλπίδι τῆς ἀκοῆς[49], βραδύνων δημοσιεύειν τὸ προσδοκώμενον; Οὐρανὸν ὁρῶμεν ἀδελφοὶ στεγανόν[50], γυμνὸν καὶ ἀνέφελον, στυγνὴν ἐμποιοῦντα τὴν αἰθρίαν ταύτην, καὶ καταλυποῦντα τῇ καθαρότητι, ἣν λίαν ἐπεθυμοῦμεν τὸ πρότερον, ἡνίκα ἂν ἐπὶ πολὺ σκεπασθεὶς τοῖς νέφεσι, ζοφώδεις ἡμᾶς καὶ ἀνηλίους εἰργάσατο· γῆ δὲ καταξηρανθεῖσα εἰς ἄκρον, ἀηδὴς μὲν ἐστιν ὀφθῆναι, ψειρὰ δὲ πρὸς γεωργίαν καὶ ἄγονος, εἰς σχίσματα διαῤῥαγεῖσα, καὶ εἰς βάθος δεχομένη καταλάμπουσαν τὴν ἀκτῖνα[51]· πηγαὶ δὲ ἡμᾶς ἐπέλιπον πλούσιαί τε καὶ ἀέννοι, καὶ ποταμῶν μεγάλων ἐξαπανήθη τὰ ῥεύματα, παῖδες δὲ αὐτὰ μικρότατοι καταπεζεύουσι[52], καὶ γυναῖκες περαιοῦνται μετὰ φορτίων· τοὺς δὲ πολλοὺς ἡμῶν καὶ τὸ ποτὸν ἐπέλειψε, καὶ ἐν ἀπορίᾳ τοῦ ζῆν καθεστήκαμεν[53], Ἰσραηλῖται νέοι[54] Μωϋσῆν ζητοῦντες νέον, καὶ ῥάβδον θαυμασίων ποιητικήν, ἵνα πάλιν πέτραι πληγεῖσαι, τὴν χρείαν τοῦ διψῶντος λαοῦ θεραπεύσωσι[55], νεφέλαι δὲ παράδοξον τροφὴν ἀσυνήθη τὸ μάννα τοῖς ἀνθρώποις καταψεκάζωσιν[56].

Εὐλαβηθῶμεν, μὴ γενώμεθα τοῖς ὀψιγόνοις[57] καινὸν ἐπὶ λιμοῦ καὶ τιμωρίας διήγημα[58]. Εἶδον τὰς ἀρούρας, καὶ πολλὰ κατεδάκρυσα τῆς ἀκαρπίας αὐτῶν. Ἐξέχεα θρῆνον, ἐπειδὴ μὴ ὑετὸς ἐφ' ἡμᾶς ἐξεχύθη[59]. Τὰ μὲν τῶν σπερμάτων πρὸ τῆς ἐκβολῆς[60] ἐξηράνθη, ταῖς βώλοις[61] τοιαῦτα μείναντα, οἷα τὸ ἄροτρον ἔκρυψε· τὰ δὲ μικρὸν προκύψαντα καὶ βλαστήσαντα, ἐλεεινῶς ἀπεμαράνθη τῷ καύματι· ὡς νῦν εὐκαίρως τινὰ τὴν εὐαγγελικὴν ἀναστρέψαι φωνὴν[62] λέγοντα· Οἱ μὲν ἐργάται πολλοί, τὸ δὲ θέρος οὐδ' ὀλίγον[63]. Οἱ γεωργοὶ δὲ ταῖς ἀρούραις ἐπικαθήμενοι καὶ τὰς χεῖρας κατὰ τῶν γονάτων συμπλέξαντες, τοῦτο δὴ τῶν πενθούντων τὸ σχῆμα, τοὺς ματαίους ἑαυτῶν πόνους δακρύουσι[64], πρὸς παῖδας νηπίους ἀφορῶντες καὶ ὀδυρόμενοι, πρὸς γυναῖκας ἀτενίζοντες καὶ θρηνοῦντες, ἐπαφώμενοι καὶ ψηλαφοῦντες τοὺς ξηροὺς χόρτους τῶν γεννημάτων, ἀνοιμώζοντες δὲ μεγάλα, καθάπερ οἱ πατέρες οἱ τοὺς ἐν ἄνθει τῆς ἡλικίας υἱοὺς ἀπολέσαντες. Λεγέσθω[65] τοίνυν καὶ πρὸς ἡμᾶς παρὰ τοῦ αὐτοῦ προφήτου, οὗ μικρὸν πρόσθεν

---

46) Τῶν ὅσων κοπιῶ. Ὁ καρπὸς δέ, ἡ ὠφέλεια τοῦ ποιμνίου του. 47) Ἐκ τῶν πιεζόντων κακῶν. 48) Ὑποδεικνύει, σᾶς κάμνει νὰ ὑπονοήσητε. 49) Ἐλπιζούσας νὰ ἀκούσωσι.
50) Στεγανὸς ὁ στερεός. Ἀλλ' ἐδῶ εἰς τὴν σημασίαν τοῦ Στεγνός, ὡς καὶ παρ' ἡμῖν.
51) Ὅτι ἡ ἀκτὶς τοῦ ἡλίου ἔλαμπεν ἕως τοῦ βάθους τῶν σχισμάδων τῆς γῆς αἱ ὁποῖαι ἐγίνοντο ἐκ τῆς ξηρασίας: τόσον πλατεῖαι ἦσαν! 52) Πεζοὶ διαβαίνουσιν. 53) Ἀπορούμεν πῶς νὰ ζήσωμεν. 54) Ἡμεῖς. 55) Γνωστὸν ὅτι ὁ Μωϋσῆς ἐπάταξε ῥάβδῳ τὴν πέτραν καὶ ἐξέῤῥευσεν ὕδωρ. 56) Ὡς ψιχάλαν ῥίπτωσι. Γνωστὸν ὅτι διερχομένων τῶν Ἰουδαίων τὴν ἔρημον ὑπὸ τὸν Μωϋσῆν, ἔπιπτε μάννα ἐκ τοῦ οὐρανοῦ καὶ τοὺς ἔτρεφε. 57) Τοὺς μεταγενεστέρους. 58) Δηλ. νὰ μὴν ἔχωσι νὰ διηγῶνται περὶ ἡμῶν πῶς ἐχάθημεν ἀπὸ λιμόν. 59) Κατ' ὀρθὸν ἑλληνισμὸν ἀπῃτεῖτο ἐδῶ Οὐ ἀντὶ Μή. Κ. §. 432, 6.
60) Τῆς φυτρώσεως. Πρὶν ἔβγουν. 61) (Ἐν) ταῖς β. 62) Ὡς (Ὥστε) εἶναι ἀναστρέψαι τινά, δύναται νὰ ἀναστρέψῃ τις καταλλήλως. 63) Εὐαγγ. Λουκ. ι. 2. 64) Ἡ αἰτ. ἐλλειπτ. τῆς ἀντ. 65) Ἂς ἀποταθῇ ὁ πρὸς ἡμᾶς ὁ λόγος

ΙΩΑΝΝΙΝΑ 2006

ἐν προοιμίοις ἐμνημονεύσαμεν· «Καὶ ἐγώ, φησιν[36], ἀνέσχον[37] ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν τοῦ τρυγητοῦ. Καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω· μερίς[38] μία βραχήσεται, καὶ μερὶς ἐφ' ἣν οὐ βρέξω ἐπ' αὐτὴν ξηρανθήσεται. Καὶ συναθροισθήσονται δύο πόλεις καὶ τρεῖς εἰς πόλιν μίαν τοῦ πιεῖν ὕδωρ, καὶ οὐ μὴ ἐμπλησθῶσι· διότι οὐκ ἐπεστράφητε πρός με, λέγει Κύριος.» Μάθωμεν οὖν ὅτι δι' ἀποστροφὴν καὶ ἀμέλειαν ταύτας ἡμῖν ὁ θεὸς τὰς πληγὰς ἐνίησιν[39], οὐκ ἐκτρίψαι[40] ζητῶν, ἀλλ' ἐπανορθῶσαι σπουδάζων, κατὰ τοὺς χρηστοὺς τῶν πατέρων καὶ τῶν τέκνων οὐκ ἀμελεῖς[41], οἳ θυμοῦνται κατὰ τῶν νέων καὶ διανίστανται, οὐ κακόν τι δοῦναι σπουδάζοντες, ἀλλ' ἐκ τῆς νηπιώδους ὀλιγωρίας καὶ τῶν τῆς νεότητος ἁμαρτιῶν, εἰς ἐπιμέλειαν ἄγοντες.

Ὁρᾶτε τοίνυν τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων; καὶ τὰς ὥρας[42] τῶν ἰδίων ἐξήγαγε φύσεων, καὶ τῶν καιρῶν τὰς ἰδέας[43] εἰς ἀλλοκότους κράσεις διήμειψεν, ὁ χειμὼν οὐκ ἔσχε τὸ σύνηθες ὑγρὸν μετὰ τοῦ ξηροῦ, ἀλλὰ πᾶσαν ἰκμάδα τῷ κρυστάλλῳ κατέδησε[44] τε καὶ κατεξήρανεν· ἄμοιρος[45] δὲ διετέλεσε καὶ νιφάδων καὶ ὑετῶν. Τὸ ἔαρ πάλιν τὸ μὲν ἕτερον[46] μέρος τῶν ἰδιωμάτων ἔδειξε, τὴν θερμότητα λέγω· τοῦ δὲ ὑγροῦ τὴν μετουσίαν[47] οὐκ ἔσχε. Καῦμα δὲ καὶ κρυμός, καινῶς ὑπερβάντα τοὺς ὅρους τῆς κτίσεως, καὶ κακῶς εἰς τὴν καθ' ἡμῶν συμφωνήσαντα βλάβην, τοῦ βίου καὶ τῆς ζωῆς[48] τοὺς ἀνθρώπους ἐλαύνουσι. Τίς οὖν ἄρα τῆς ἀταξίας καὶ τῆς συγχύσεως ἡ αἰτία; Τίς ὁ νεωτερισμὸς τῶν καιρῶν, ἐρευνήσωμεν ὡς νοῦν ἔχοντες, ὡς λογικοὶ λογισώμεθα. Μὴ ὁ κυβερνῶν τὸ πᾶν οὐκ ἔστι; Μὴ ὁ ἀριστοτέχνης θεὸς ἐπελάθετο τῆς οἰκονομίας[49]; Μὴ ἀφῃρέθη τῆς ἐξουσίας καὶ δυνάμεως; Ἢ τὴν ἰσχὺν μὲν τὴν αὐτὴν ἔχει, καὶ τοῦ κράτους οὐ παρελύθη[50], παρηνέχθη[51] δὲ εἰς σκληρότητα, καὶ τὸ λίαν ἀγαθὸν[52] καὶ τὸ περὶ ἡμᾶς κηδεμονικὸν εἰς μισανθρωπίαν μετέβαλεν; Οὐκ ἂν εἴποι τις σωφρονῶν· ἀλλὰ φανερὰ καὶ δῆλα τὰ αἴτια δι' ἃ συνήθως οὐ διοικούμεθα[53]. Λαμβάνοντες ἡμεῖς, ἄλλοις οὐ παρέχομεν τὴν εὐεργεσίαν, ἐπαινοῦμεν, καὶ ταύτης ἀποστεροῦμεν τοὺς δεομένους· δοῦλοι ὄντες ἐλευθερούμεθα[54], καὶ τοὺς ὁμοδούλους οὐκ οἰκτείρομεν· πεινῶντες τρεφόμεθα, καὶ τὸν ἐνδεῆ παρατρέχομεν· ἀνενδεῆ χορηγὸν καὶ ταμίαν θεὸν ἔχοντες, φειδωλοὶ ἐγενόμεθα καὶ ἀκοινώνητοι πρὸς τοὺς πένητας· πολύτοκα ἡμῶν τὰ πρόβατα, καὶ οἱ γυμνοὶ τῶν προβάτων πλείους[55]· αἱ ἀποθῆκαι τῷ πλήθει τῶν ἀποκειμένων στενοῦνται, καὶ τὸν ἐστενωμένον[56] οὐκ ἐλεοῦμεν· διὰ τοῦτο ἡμῖν ἀπειλεῖ τὸ δίκαιον κριτήριον· διὰ τοῦτο καὶ ὁ θεὸς οὐκ ἀνοίγει τὴν χεῖρα, ἐπειδὴ τὴν φιλαδελφίαν ἡμεῖς ἀπεκλείσαμεν

---

36) Ὁ προφήτης Ἀμώς. Κεφ. δ', ἐδάφ. 7. 37) Ἀφῄρεσα.
38) Μερὶς ἀγροῦ 39) Ἐνίημι. 40) Νὰ μᾶς ἐξολοθρεύσῃ. 41) Ἐπιμελεῖς περὶ τὴν ἀνατροφήν των. 42) Τὰς ὥρας τοῦ χρόνου. 43) Τὸν τρόπον, τὴν ὄψιν. 44) Τὴν ἔδεσεν εἰς κρύσταλλον, τὴν ἐπάγωσε. 45) Μὴ ἔχων μέρος, ἐστερημένος. 46) Τὸ ἓν ἐκ τῶν δύο.
47) Μετοχήν. 48) Διώκουσιν ἔξω. Βίου καὶ ζωῆς, περιττὴ ἐπανάληψις διὰ τὸ ἔγκυρον τῆς φράσεως. 49) Τῆς οἰκονομίας τοῦ παντός. 50) Ἀπελύθη, ἀπεβλήθη. 51) Παραφέρομαι. 52) Οὐδέτ. ἀντὶ ἀρσ. Κ. §. 323, 6'. 53) Δὲν διοικούμεθα κατὰ τὸν συνειθισμένον τρόπον ὑπὸ τοῦ θεοῦ. 54) Τῆς δουλείας τῶν παθῶν καὶ τῆς ἁμαρτίας. 55) Ἡ γεν. συγκριτικῶς πρὸς τὸ πλείους. 56) Ἐκεῖνον ὅστις εἶναι εἰς τὰ στενά, εἰς στενοχωρίαν.

διὰ τοῦτο ξηραὶ αἱ ἄρουραι, ἐπειδὴ ἡ ἀγάπη ἐψύγη. Φωνὴ λιτανευόντων
εἰκῆ[57] βοᾷ, καὶ πρὸς τὸν ἀέρα διασκεδάννυται, οὐδὲ γὰρ ἡμεῖς τῶν ἀξι-
ούντων[58] ἠκούσαμεν.

Οἵα δὲ ἡμῶν ἡ προσευχὴ καὶ ἡ δέησις; Οἱ ἄνδρες, πλὴν ὀλίγων, ταῖς
ἐμπορίαις σχολάζετε· αἱ γυναῖκες ὑπηρετεῖτε τούτοις εἰς τὴν ἐργασίαν
τοῦ μαμμωνᾶ[59]. Ὀλίγοι λοιπὸν μετ' ἐμοῦ καὶ τῆς προσευχῆς, καὶ οὗτοι
ἰλιγγιῶντες[60], χασμώμενοι, μεταστρεφόμενοι συνεχῶς, καὶ ἐπιτηροῦντες,
πότε τοὺς στίχους ὁ ψαλμῳδὸς συμπληρώσει, πότε ὡς δεσμωτηρίου τῆς
ἐκκλησίας καὶ τῆς ἀνάγκης τῆς προσευχῆς ἀφαιρεθήσονται[61]. Οἱ δὲ δὴ παῖ-
δες οἱ σμικρότατοι οὗτοι, οἱ τὰς δέλτους[61a] ἐν τοῖς διδασκαλείοις ἀποθέ-
μενοι καὶ συμβοῶντες ἡμῖν[62], ὡς ἄνεσιν καὶ τέρψιν τὸ πρᾶγμα[63] μετέρχον-
ται, ἑορτὴν ποιούμενοι τὴν ἡμετέραν λύπην, ἐπειδὴ τῆς ἐπαχθείας τοῦ
παιδευτοῦ[64] καὶ τῆς φροντίδος τῶν μαθημάτων πρὸς ὀλίγον ἐλευθεροῦν-
ται. Τὸ δὲ τῶν τελείων ἀνδρῶν πλῆθος, καὶ ὁ ταῖς ἁμαρτίαις ἐνεχόμενος
δῆμος, ἄνετος ἐλευθεριάζων[65], καὶ γεγανωμένος[66] τὴν πόλιν διατρέχει, ὁ
τῶν κακῶν τὴν αἰτίαν ἐν ταῖς ψυχαῖς περιφέρων, ὁ τὴν συμφορὰν κινήσας
καὶ ἐργασάμενος. Ἀναίσθητα δὲ καὶ ἄμεμπτα βρέφη πρὸς τὴν ἐξομολό-
γησιν ἐπείγεται καὶ ἀθροίζεται, οὔτε τὴν ἀφορμὴν τῶν λυπούντων[67], οὔτε
τοῦ συνήθως προσεύξασθαι[68] γνῶσιν ἢ δύναμιν ἔχοντα.

Σύ[69] μοι πάρελθε εἰς μέσον, ὁ ταῖς ἁμαρτίαις πεφυρμένος· σὺ πρόσπεσε
καὶ κλαῦσον καὶ στέναξον· ἄφες τὸ βρέφος ἐνεργεῖν τὰ ἴδια καὶ τῆς ἡλι-
κίας ἀκόλουθα[70]. Ἵνα τί κρύπτῃ κατηγορούμενος, καὶ τὸν ἀνεύθυνον[71] εἰς
ἀπολογίαν προΐστῃς; Μὴ γὰρ παίζεται[72] ὁ κριτής, ἵνα ὑποβολιμαῖον[73] ἀν-
τεισάγῃς πρόσωπον; Ἔδει δὲ παρεῖναι κἀκεῖνον; Μετὰ σοῦ πάντως, οὐ
μόνον. Ὁρᾷς ὡς καὶ Νινευῖται[74] τῇ μεταμελείᾳ τὸν Θεὸν δυσωποῦντες, καὶ
πενθοῦντες τοῖς ἁμαρτήμασιν[75], ἃ μετὰ τὴν θάλασσαν καὶ τὸ κῆτος Ἰωνᾶς
ἐξεβόησεν[76], οὐ τὰ βρέφη μόνον εἰς μετάνοιαν προεστήσαντο, αὐτοὶ δὲ τρυ-
φῶντες, αὐτοὶ εὐωχούμενοι διέζων[77] τὸν βίον· ἀλλὰ πρώτους μὲν ἐδάμασε
τοὺς πατέρας τοὺς ἡμαρτηκότας ἡ νηστεία, καὶ ἡ τιμωρία τοὺς πατέρας
ἐκάκου· εἰς προσθήκης δὲ λόγον[78], ἠναγκασμένως ἐθρήνει τὰ βρέφη, ἵνα διὰ
πάσης ἡλικίας ἡ σκυθρωπότης κρατήσῃ αἰσθανομένης τε καὶ ἀναισθήτου,
τῆς μέν, κατὰ προαίρεσιν, τῆς δέ, κατ' ἀνάγκην· καὶ οὕτως αὐτοὺς ἰδὼν ὁ
Θεὸς ταπεινωθέντας, ὡς ἐπὶ ὑπερβαίνουσαν ἑαυτοὺς[78a] ταλαιπωρίαν παγγενῆ

---

57) Ματαίως. 58) Τῶν ἀπαιτούντων ἀπὸ ἡμᾶς. 59) Εἰς θησαυρισμόν. 60) Ζαλιζόμενοι,
ἐνοχλούμενοι. 61) Ἴσως: Ἀφεθήσονται. 61a) Τὰ τετράδια. 62) Συνέψαλλον εἰς τὰς ἐκ-
κλησίας. 63) Τὴν προσευχήν. 64) Τῆς ἐπαχθοῦς παρουσίας ἢ τοῦ ἐπαχθοῦς τρόπου τοῦ
διδασκάλου. 65) Ἀδιαφορῶν. 66) Φαιδρός. 67) Τῶν πρωταιτίων τοῦ λιμοῦ καὶ αὐχμοῦ.
68) Κ. §. 410. 69) Ὑποτίθησιν ὅτι ἀποτείνεται πρός τινα ἰδίως, ἀποτείνων τὸν Λό-
γον πρὸς ὅλους εἰς ὅσους τὰ λεγόμενα ἐφαρμόζονται. 70) Τὰ ἔργα τὰ ἀνήκοντα εἰς τὴν
ἡλικίαν του. 71) Δηλ. τὸν παῖδα. 72) Παίζεται, ὡς παρ' ἡμῖν, ἀντὶ ἀπατᾶται.
73) Μὴ γνήσιον. 74) Οἱ κάτοικοι τῆς Νινευΐ. 75) (Ἐπὶ) τοῖς ἁμ. 76) Γνωστὸν ὅτι τὸν
Ἰωνᾶν, ῥιφθέντα εἰς τὴν θάλασσαν, κατέπιε κῆτος καὶ τὸν ἐξέμεσε πάλιν ζῶντα. Οὗ-
τος δὲ ἔκτοτε ἐκήρυξε μετάνοιαν εἰς τὴν Νινευΐ, καὶ οἱ κάτοικοι αὐτῆς προσέπεσον
εἰς τὸν Θεόν, καὶ ἐζήτησαν συγχώρησιν τῶν ἁμαρτιῶν των. 77) Ὑπεν. πάντοτε τὸ εὐ.
78) Ἐκ προσθήκης. 78a) Ἐν ἄλλοις, Ἑαυτοῖς καὶ ἐν ἄλλ. Ἑαυτῶν.

κατακρίναντες[80] καὶ τὸ πάθος ἠλέησε, καὶ τῆς τιμωρίας ἀνῆκε, καὶ τὸ χαίρειν ἐδωρήσατο, τοῖς εὐαισθήτως πενθήσασιν. Ὢ τῆς εὐμελοῦς μετανοίας! Ὢ τῆς σοφῆς καὶ πεπυκνωμένης[81] θλίψεως! Οὐδὲ τὰ ἄλογα ἀσυντελῆ[82] τῆς τιμωρίας ἀφῆκαν, ἀλλὰ καὶ αὐτὰ βοᾷν ἐξ ἀνάγκης ἐμηχανήσαντο[83]. Ἐχωρίσθη ἐκ τῆς βοὸς ὁ μόσχος· ἀπηλάθη τῆς μητρῴας θηλῆς ὁ ἀρνειόπαιδον ἐπιμάζιον[84] οὐκ ἦν ἐν ταῖς τῆς τεκούσης ἀγκάλαις· ἐν ἰδίοις σηκοῖς[85] αἱ μητέρες, ἐν ἰδίοις τὰ τέκνα. Φωναὶ δὲ παρὰ πάντων οἰκτραί, ἀλλήλαις ἀντιβοῶσαι καὶ ἀντηχοῦσαι. Τὰ τέκνα λιμώττοντα, τὰς πηγὰς ἐζήτει τοῦ γάλακτος[86]. Αἱ μητέρες τῷ φυσικῷ πάθει διακοπτόμεναι, συμπαθέσει φωναῖς ἀνεκαλοῦντο τὰ ἔγγονα. Τὰ βρέφη κατὰ τὸν ὅμοιον τρόπον λιμώττοντα, σφοδροτάτῳ κλαυθμῷ ἐνεῤῥήγνυντο[87] καὶ ἀπέσπαιρον. Αἱ τεκοῦσαι ταῖς φυσικαῖς ἀλγηδόσι κατεκεντοῦντο τὰ σπλάγχνα. Καὶ διὰ τοῦτο τὴν ἐκείνων[88] μετάνοιαν, εἰς κοινὸν τοῦ βίου διδασκάλιον[89] ὁ θεόπνευστος λόγος[90] ἔγγραφον διέσωσεν. Ὁ πρεσβύτης ἐπ' ἐκείνων ἐθρήνει, καὶ τὴν πολιὰν ἔτιλλε καὶ διεσπάραττεν· ὁ νεανίσκος καὶ ἀκμάζων σφοδρότερον ἀπωδύρετο· ὁ πένης ἐστέναζεν· ὁ πλούσιος ἐπιλαθόμενος τῆς τρυφῆς, ἤσκει τὴν κακοπάθειαν ὡς σώφρονα[91]· ὁ βασιλεὺς αὐτῶν τὴν λαμπρότητα καὶ τὴν δόξαν καὶ αἰσχύνην μετέβαλεν· ἀπέθετο τὸν στέφανον, καὶ κόνιν τῆς κεφαλῆς κατεχέατο[92]· τὴν ἁλουργίδα ῥίψας σάκκον μετημφιάσατο· τὸν θρόνον τὸν ὑψηλὸν ἀφεὶς καὶ μετέωρον, ἐλεεινὸς τῇ γῇ προσεφύρετο[93]· τὴν ἰδιάζουσαν καὶ βασιλικὴν καταλιπὼν ἀπάθειαν, συνεθρήνει τῷ δήμῳ· εἷς ἐγένετο τῶν πολλῶν[94], ὅτι τὸν κοινὸν πάντων δεσπότην ἔβλεπεν ὀργιζόμενον.

Τοῦτο δούλων[95] εὐαισθήτων φρόνημα· τοιαύτη τῶν ἁμαρτίαις ἐνεχομένων ἡ μετάνοια. Ἡμεῖς δὲ τὴν ἁμαρτίαν ἐπιτελοῦμεν συντόνως, ὀλιγώρως δὲ καὶ ῥᾳθύμως ἀναλαμβάνομεν τὴν μετάνοιαν. Τίς εὐξάμενος ἀποῤῥεῖ[96] δάκρυον, ἵν' ὄμβρον λάβῃ καὶ σταγόνας εὐκαίρους; Τίς ἐξαλείφων ἁμαρτίας, κατὰ μίμησιν τοῦ μακαρίου Δαβίδ, θρήνοις τὴν κοίτην ἔβρεξε[97]; Τίς πόδας ἔβρεξε ξένων, καὶ τὴν κόνιν τῆς ὁδοιπορίας ἀπέκλυσεν[98], ἵν' ἐν καιρῷ δυσωπήσῃ τὸν Θεόν, αὐχμοῦ λύσιν ζητῶν; Τίς ἔθρεψε τὸ πατρὸς ἔρημον παιδίον, ἵνα νῦν ἡμῖν ὁ Θεὸς θρέψῃ τὸν σῖτον ὡς ὀρφανὸν τῇ τῶν ἀνέμων ἀκρασίᾳ κονδυλιζόμενον[99]; Τίς ἐθεράπευσε χήραν κεκακωμένην ταῖς δυσκολίαις τοῦ βίου, ἵνα νῦν ἐπιμετρηθῇ[100] τὴν ἀναγκαίαν τροφήν; Διάῤῥηξον γραμματεῖον ἄδικον[101], ἵν' οὕτως ἡ ἁμαρτία λυθῇ. Ἐξάλειψον βαρυτάτων τόκων ὁμολογίαν, ἵνα τέκῃ[102] τὰ συνήθη ἡ γῆ. Χαλκοῦ γὰρ καὶ χρυσοῦ καὶ τῶν

80) Ἐπιβαλόντες εἰς ἑαυτοὺς δι' ἰδίας κρίσεως ταλαιπωρίαν παγγενῆ, δηλ. ἐκτεινομένην εἰς ὅλα τὰ γένη, καὶ εἰς τοὺς ἄνδρας καὶ εἰς τὰ παιδία. 81) Ἐμβριθοῦς, Α. Σ. 82) Μὴ πληρώσαντα τὸν φόρον (δηλ. ἀμέτοχα) τῆς τ. 83) Ἐφεῦρον τρόπον ὥστε νὰ τ' ἀναγκάσωσι νὰ βοῶσι. 84) Τὸ ὁποῖον ἀκόμη βυζάνει. Παιδὶ εἰς τὸ βυζί. 85) Εἰς ἰδιαιτέρας μάνδρας (ἔμενον). 86) Τοὺς μαστούς. 87) Ἐξέσπασαν, ἔβγαζαν ἐξάφνως φωνάς. 88) Τῶν Νινευϊτῶν. 89) Δίδαγμα. 90) Ἡ ἁγ. Γραφή. 91) Σώφρονα (ἄσκησιν). 92) Ἐχέατο κατὰ τῆς κ. 93) Κατὰ διόρθωσιν ἀντὶ τοῦ εἰς τὸ κείμενον Προσεφέρετο. 94) Τοῦ κοινοῦ λαοῦ. 95) Δούλων τοῦ Θεοῦ. 96) Χρῆται μεταβατικῶς ἀντὶ τοῦ χύνει. Εἶνε δὲ συνήθως ἀμετάβατον. 97) Ψαλμὸς ς'. 7. Ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. 98) Ἀπέπλυνε. 99) Σαλευόμενον, ὡς τὸ Κονδυλᾶν παρ' ἡμῖν. 100) Πληθ. 101) Χρεωστικὴν ὁμολογίαν. 102) Παίζει πρὸς τοὺς τόκους, οἵτινες εἰσὶ τὰ ἐκ τοῦ ἀρχαίου ἢ κεφαλαίου

ἀγόνων παρὰ φύσιν γεννώντων, ἡ κατὰ φύσιν τίκτουσα γίνεται στεῖρα, καὶ πρὸς τιμωρίαν τῶν ἐνοικούντων κατεδικάσθη τὴν ἀκαρπίαν[102]. Δειξάτωσαν τοίνυν οἱ τὴν πλεονεξίαν τιμῶντες, οἱ τὸν πλοῦτον μεθ' ὑπερβολῆς συνάγοντες, τίς ἡ δύναμις τῶν θησαυρισθέντων, ἢ τί τὸ ὄφελος, ἂν ὀργισθεὶς ὁ Θεὸς ἐπὶ πλεῖστον παρελκύσῃ τὴν τιμωρίαν. Ὠχρότεροι τάχα τοῦ χρυσοῦ γενήσονται οἱ τοῦτον σωρεύοντες, ἐὰν μὴ τὸν ἄρτον, τὸν μέχρι χθὲς καὶ πρώην καταφρονούμενον διὰ τὴν πρόχειρον ἐξουσίαν τῆς εὐθηνίας,[103] σχῶσι. Δὸς δὴ, μὴ εἶναι[104] τὸν πιπράσκοντα, μηδὲ ὑπάρχειν σῖτον ἐν ἀποθήκαις· καὶ τίς ἡ χρῆσις τῶν βαρυτάτων βαλαντίων, εἰπέ μοι. Οὐ μετ' ἐκείνων χωσθήσῃ[105]; Οὐ γῆ ὁ χρυσός; οὐ πηλὸς ἀχρεῖος πηλῷ τῷ σώματι παρακείσεται; Πάντα ἐκτήσω, καὶ ἓν ἀναγκαῖον οὐκ ἔχεις, δύναμιν τοῦ τρέφειν σεαυτόν. Τῷ παντί σου πλούτῳ ἓν νέφος ἀπέργασαι[106]· ὀλίγων ψεκάδων ἐπινόησον πόρον· ἔπειξον[107] εἰς καρποφορίαν τὴν γῆν· λῦσον τῷ ὑπερηφάνῳ καὶ σοβοῦντι πλούτῳ τὴν συμφοράν. Τάχα τινὰ τῶν εὐλαβῶν παρακαλέσεις, ἵν' εὐχαῖς ὡς ὁ Θεσβίτης Ἠλίας[108] ἄνεσίν σοι χαρίσηται τῶν δεινῶν ἄνθρωπος[109] ἀκτήμων, ὠχριῶν, ἀνυπόδητος, ἀοίκητος, ἀνέστιος, ἄπορος, ἐν χιτῶνι σκεπόμενος, ὡς ὁ Ἠλίας τῇ μηλωτῇ, τὴν εὐχὴν ἔχων σύντροφον, τὴν ἐγκράτειαν ὁμοδίαιτον. Κἂν ἐπιτύχῃς τῆς παρὰ τοῦ τοιούτου βοηθείας δεόμενος, οὐ μακρὰ καταγελάσεις τῶν πολυμερίμνων κτημάτων; οὐ προσπτύσεις τῷ χρυσῷ; οὐ διαῤῥίψεις ὡς κόπρον τὸν ἄργυρον, ὃν πρότερον πάντα δυνάμενον καὶ φίλτατον ὀνομάζων, ἀδρανῆ βοηθὸν ἐπὶ τῆς χρείας ἐγνώρισας;

Διὰ σὲ καὶ τὴν συμφορὰν ταύτην κατεδίκασεν[110], ἐπειδὴ ἔχων οὐκ ἐδίδως· ἐπειδὴ παρέτρεχες τοὺς πεινῶντας· ἐπειδὴ πρὸς τοὺς ὀδυρομένους οὐκ ἐπεστρέφου· ἐπειδὴ προσκυνούμενος οὐκ ἠλέεις. Ἔρχεται καὶ δι' ὀλίγους[111] ἐπὶ δῆμον κακά· καὶ μοχθηρίας τινὸς[112] παραπέλαυσε δῆμος[112*]. Ἄχαρ[113] ἱεροσύλησε, καὶ ὅλη ἡ παράταξις ἐμαστίζετο· ὁ Ζαμβρὶ πάλιν εἰς τὰς Μαδιανίτιδας ἐξεπόρνευσε, καὶ ὁ Ἰσραὴλ ἔπιπτεν εἰς δίκην. Πάντες τοίνυν, καὶ ἰδίᾳ καὶ κοινῇ, τοὺς βίους ἑαυτῶν[114] ἐξετάσωμεν· ὡς παιδαγωγῷ πρόσχωμεν τῷ αὐχμῷ, ἕκαστον τῆς ἰδίας ἁμαρτίας ὑπομιμνήσκοντι. Εἴπωμεν καὶ ἡμεῖς τοῦ γενναίου Ἰὼβ τὴν φωνὴν εὐαισθήτως[115]· χεὶρ Κυρίου ἐστὶν ἡ ἁψαμένη μου. Καὶ μάλιστα μὲν πρωτοτύπως, τοῖς ἁμαρτήμασι τὴν συμφορὰν ἑαυτῶν[116] λογισώμεθα[117].

Εἰ δὲ δεῖ καὶ ἄλλο προσθεῖναι, ἔστιν ὅτε καὶ κατὰ πεῖραν ταῖς ψυχαῖς[118] αἱ τοιαῦται τοῦ βίου δυσκληρίαι τοῖς ἀνθρώποις προσάγονται, ἵν' ἐπὶ τῆς δυσκολίας ἀπελεγχθῶσιν οἱ δόκιμοι, εἴτε πένητες, εἴτε πλούσιοι. Ἑκάτεροι δὲ ἀκριβῶς διὰ τῆς ὑπομονῆς δοκιμάζονται, κἂν τούτῳ μάλιστα τῷ καιρῷ

---

τικτόμενον ἀργύριον. 102) Τὸ καταδικάζω πολλάκις μετ' αἰτ. ἐκ γ'. καὶ γεν. (τῆς ἐν τῷ ῥήμ. προθ.) ἐκ δ'. 103) Διότι ὡς εὐθηνὴν προχείρως τὸν εἶχον. 104) Ὑπόθες ὅτι δὲν ὑπάρχει. 105) Χώννυμι. Θέλεις ταφῇ. 106) Κατόρθωσε νὰ παραγάγῃς ἓν νέφος, ἂν ἠμπορῇς. 107) Ἐπείγω. Βίασον. 108) Ὁ Ἠλίας, προσηύξατο νὰ βρέξῃ καὶ ἔβρεξε.

109) Αἱ ὀνομαστικαὶ αὗται ὑποκείμεναι τοῦ Χαρίσηται. 110) Ὁ Θεὸς κατεδίκασεν ἡμῶν τὴν συμφοράν. 111) Ἐξ αἰτίας ὀλίγων. 112) Ἴσως, Ἑνός. 112*) Ὁ λαὸς ἔπαθεν ἐκ τῆς μοχθηρίας ἑνὸς μόνου. 113) Ἰησ. Ναυῆ Ζ'. 114) Ἡμῶν αὐτῶν. 115) [illegible] Συναισθανόμενοι αὐτήν. 116) Αὐτήν. 117) Ἂς ἀποδώσωμεν. 118) Διὰ νὰ δοκιμασθῶσιν αἱ ψυχαί.

δεικνύονται, ὁ μέν, εἰ κοινωνικὸς καὶ φιλάδελφος, ὁ δὲ εἰ εὐχάριστος[118] καὶ μὴ τοὐναντίον βλάσφημος, ταῖς τοῦ βίου περιφοραῖς ὀξέως συμμεταβάλλων τὸ φρόνημα. Οἶδα ἐγὼ πολλούς, οὐκ ἀκοῇ μαθών, ἀλλὰ τῇ πείρᾳ τοὺς ἀνθρώπους γνωρίσας, ἕως μέχρι[119] μὲν ὁ βίος αὐτοῖς πρὸς εὐπορίαν διαμετρεῖται, καὶ ἐξ οὐρίας τὸ λεγόμενον χωρεῖ[120], μέσως[121] γοῦν εἰ καὶ μὴ τελείως τῷ εὐεργέτῃ ὁμολογοῦντας τὴν χάριν· εἰ δέ που διὰ[122] τὴν ἐναντίαν κατάστασιν περιτραπείη τὰ πράγματα, καὶ ὁ μὲν πλούσιος γένηται πένης, ἡ δὲ ῥώμη τοῦ σώματος νόσος, ἡ δὲ δόξα καὶ ὑπερηφάνεια αἰσχύνη καὶ ἀτιμία, ἀχαριστοῦντας, βλάσφημα φθεγγομένους, ὀκνοῦντας τὴν προσευχήν, ὡς πρὸς χρεώστην βραδύνοντα τὸν θεὸν σχετλιάζοντας, οὐχ ὡς πρὸς δεσπότην ἀγανακτοῦντα διακειμένους. Ἀλλ' ἄπαγε τῶν λογισμῶν τὴν τοιαύτην ἔννοιαν[123]. Ὅταν δὲ ἴδῃς θεὸν μὴ χαριζόμενον τὰ συνήθη, οὕτω λογίζου παρὰ σεαυτῷ· μὴ ἀδύνατος ὁ θεὸς χορηγεῖν τὴν τροφήν; καὶ πῶς, ὃς κύριός ἐστιν οὐρανοῦ καὶ πάσης διακοσμήσεως, ὡρῶν καὶ καιρῶν σοφὸς οἰκονόμος, κυβερνήτης τῶν πάντων, ὥσπερ τινὰ χορὸν εὔτακτον τὰς ὥρας καὶ τὰς τροπὰς ἀλλήλαις ὑποχωρεῖν ὁρίσας, ἵνα τῇ ἑαυτῶν ποικιλίᾳ ταῖς διαφόροις ἡμῶν ἐπαρκέσωσι χρείαις, καὶ νῦν μὲν κατὰ καιρὸν τὸ ὑγρὸν προσγένηται[124], αὖθις δὲ λάβῃ τὸ θερμόν, καὶ τὸ ψυχρὸν[125] ἐγκραθῇ τῷ ἐνιαυτῷ, καὶ τοῦ ξηροῦ τὴν χρείαν μὴ ἀμοιρήσωμεν[126]; Οὐκοῦν δυνατὸς ὁ θεός. Τοῦ δυνατοῦ[126] δὲ προσόντος καὶ ὁμολογουμένου, μὴ ἄρα τὸ ἀγαθὸν ἐνέλειψεν; οὐδὲ οὗτος ἐφετὸς[127] ὁ λόγος. Τίς γὰρ ἀνάγκη τὸν μὴ ἀγαθὸν ἔπεισεν ἐν ἀρχῇ δημιουργῆσαι τὸν ἄνθρωπον; Τίς δὲ ὁ κατεπείξας[127] τὸν κτίστην καὶ μὴ βουλόμενον χοῦν λαβεῖν καὶ τοιοῦτον ἐκ πηλοῦ κάλλος ἰδιοποιῆσαι[127*]; Τίς ὁ πρὸς ἀνάγκην πείσας[128], κατ' εἰκόνα ἰδίαν τὸν λόγον τῷ ἀνθρώπῳ χαρίσασθαι, ἵν' ἐκεῖθεν ὁρμηθεὶς[129] τεχνῶν μάθησιν δέξηται, καὶ μάθῃ περὶ τῶν ἀνωτάτω[130] φιλοσοφεῖν, ὧν αἰσθητῶς οὐχ ἅπτεται; Κἂν[131] οὕτω λογιζόμενος, εὕροις τὴν ἀγαθότητα τῷ θεῷ συνοῦσαν, καὶ μέχρι νῦν μὴ ἀπολιμπανομένην· ἐπεί, τί ἐκώλυεν, εἰπέ μοι, μὴ αὐχμὸν εἶναι τὸ ὁρώμενον, ἀλλὰ τελείαν ἐκπύρωσιν[132], καὶ μικρὸν ὑπαλλάξαντα[133] τὸν ἥλιον τῆς συνήθους πορείας, πλησιάσαντα δὲ τοῖς περιγείοις[134] σώμασιν, ἐν ἀκαρεῖ καταφλέξαι πᾶν τὸ ὁρώμενον, ἢ βρέξαι πῦρ ἐκ τοῦ οὐρανοῦ καθ' ὁμοίωσιν τῶν ἤδη κολασθέντων ἁμαρτωλῶν[135];

Ἐπὶ σαυτοῦ καὶ τῶν σῶν λογισμῶν[136] γενοῦ ἄνθρωπε. Μὴ ποίει τὰ τῶν ἀνοήτων παίδων, οἳ παρὰ διδασκάλου ἐπιτιμηθέντες, τὰς δέλτους ἐκείνου καταῤῥηγνύουσι, πατρὸς δὲ δι' ὠφέλειαν τὴν τροφὴν ὑπερθεμένου[137], τὴν

---

118) Εὐγνώμων εἰς τὸν Θεόν. 119) Πλεονασμός. Ἐν ὅσῳ. 120) Ἐξ οὐρίας χωρεῖ ἔχει οὔριον τὸν ἄνεμον, εὐοδοῦται. Τὸ λεγόμενον, κατὰ τὴν παροιμ. 121) Μετρίως. 122) Ἐκ περιστάσεως ἐναντίας. 123) Μακρὰν τῶν λογισμῶν σου ἔχε τὴν τοιαύτην ἰδέαν, ὅτι δηλ. ὁ Θεὸς χρεωστεῖ κ. βραδύνει. 124) Ὁρίσας ἵνα προσγένηται. 125) Οὐδέτερα ἀντὶ ἐφηρμοσμένων. 126) Δηλ. ἔχωμεν καὶ ξηρασίαν πρὸς τὴν χρείαν ἡμῶν. 127) Παραδεκτός. 127*) Ἴσ. Εἰδοποιῆσαι. 128) Πειθαναγκάσας. 129) Τὸν λόγον μεταχειριζόμενος. 130) Περὶ τῶν ὑψηλοτάτων πραγμάτων. 131) Καὶ οὕτω λογιζόμενος εὕροις ἄν. 132) Νὰ ἀνάψῃ ἡ γῆ. 133) Παρεκτραπέντα. 134) Τοῖς πλησίον εἰς τὴν γῆν. 135) Τῶν ἐν Σοδόμοις καὶ Γομόῤῥᾳ. 136) Ἐλθὲ εἰς τὸν ἑαυτόν σου. 137) Ἀναβαλόντος.

ἐσθῆτα καταπράττουσιν, ἢ τὸ τῆς μητρὸς πρόσωπον τοῖς ὄνυξι καταξαίνουσι. Κυβερνήτην μὲν γὰρ ὁ χειμών, καὶ τὸν ἀθλητὴν τὸ στάδιον, τὸν στρατηγὸν παράταξις, τὸν μεγαλόψυχον ἡ συμφορά, τὸν Χριστιανὸν δὲ πειρασμὸς δοκιμάζει καὶ βασανίζει, καὶ αἱ λῦπαι τὴν ψυχὴν ὡς τὸ πῦρ τὸν χρυσὸν ἀπελέγχουσι. Πένης εἶ; μὴ ἀθυμήσῃς· ἡ γὰρ εἰς ἄγαν κατήφεια γίνεται τῆς ἁμαρτίας αἰτία, τῆς μὲν λύπης βαπτιζούσης τὸν νοῦν καὶ ἀμηχανίας ἐμποιούσης ἴλιγγον, τῆς δὲ ἀπορίας τῶν λογισμῶν τὴν ἀχαριστίαν ἀπογεννώσης· ἀλλ' ἔχε τὴν ἐλπίδα πρὸς τὸν Θεόν. Μὴ γὰρ οὐκ ἀποβλέπει τὴν στένωσιν[138]; Ἔχει τὴν τροφὴν ἐν χερσί, καὶ παρέλκει[139] τὴν δόσιν, ἵνα σου δοκιμάσῃ τὸ βέβαιον[140], ἵνα καταμάθῃ τὴν γνώμην, εἰ μὴ τῇ τῶν ἀκολάστων καὶ ἀγνωμόνων ἐστὶν ὁμοία. Καὶ γὰρ ἐκεῖνοι μέχρι μὲν ἐν τῷ στόματι τὰ σιτία τυγχάνει, εὐφημοῦσι, κολακεύουσιν, ὑπερθαυμάζουσιν· ὀλίγον δὲ τῆς τραπέζης ὑπερτεθείσης[137], ὥσπερ τισὶ λίθοις ταῖς βλασφημίαις βάλλουσιν οὓς πρὸ βραχέος ἴσα Θεῷ διὰ τὴν ἡδονὴν προσεκύνουν.

Ἔπελθε[141] τὴν παλαιὰν διαθήκην, τὴν νέαν, καὶ πολλοὺς εὑρήσεις ἐν ἑκάστῃ τοὺς διαφόρως τραφέντας. Ἠλίαν εἶχεν ὁ Κάρμηλος[142], ὄρος ὑψηλὸν καὶ ἀοίκητον· ἔρημος, ἔρημον[143], ψυχὴ[144] δὲ ἦν τῷ δικαίῳ τὰ πάντα, καὶ τῆς ζωῆς ἐφόδιον ἡ πρὸς Θεὸν ἐλπίς. Ζῶν δὲ οὕτω, λιμῷ τὴν ζωὴν οὐκ ἀπήλλαξεν[145], ἀλλ' οἱ ἁρπακτικώτατοι καὶ μάλιστα γαστρίμαργοι τῶν ὀρνίθων, οὗτοι διεκόμιζον τὰ σῖτα, καὶ τροφῆς ἐγένοντο τῷ δικαίῳ διάκονοι, οἱ τὰς ἀλλοτρίας τροφὰς ἐκ συνηθείας ἁρπάζοντες, καὶ τῷ δεσποτικῷ προστάγματι τὴν φύσιν διήμειψαν[146], πιστοὶ φύλακες γενόμενοι τῶν ἄρτων καὶ τῶν κρεῶν. Ταῦτα γὰρ τῷ ἀνδρὶ φέρειν τοὺς κόρακας, παρὰ τῆς πνευματικῆς ἱστορίας ἐμάθομεν. Εἶχε δὲ καὶ ὁ Βαβυλώνιος λάκκος τὸν Ἰσραηλίτην νεανίσκον[147], αἰχμάλωτον μὲν τὴν συμφορὰν[148], ἐλεύθερον δὲ τὴν ψυχὴν καὶ τὸ φρόνημα. Καὶ τί τὰ παρ' ἐκείνων[149]; Οἱ μὲν λέοντες[150] παρὰ φύσιν ἐνήστευον, ὁ δὲ τούτου τροφεύς, Ἀββακοὺμ[151], ἐφέρετο δι' ἀέρος, κομίζοντος τοῦ Ἀγγέλου μετὰ τῶν ὄψων τὸν ἄνθρωπον. Καὶ ἵνα μὴ λιμῷ πιεσθῇ δίκαιος, τοσαύτης ὑπερηνέχθη γῆς καὶ θαλάσσης ὁ προφήτης ἐν μικρῷ μορίῳ καιροῦ, ὅσην ἐκ τῆς Ἰουδαίας μέχρι Βαβυλῶνος ἡπλῶσθαι[152]. Τί δὲ πάλιν ὁ τῆς ἐρήμου λαός[153], οὗ Μωϋσῆς ἐπετρόπευσε; Πῶς ᾠκονομήθη τὸν βίον ἐν ἔτεσι τεσσαράκοντα; Οὐκ ἦν ἐκεῖ σπείρων ἀνήρ, οὐ βοῦς ἕλκων ἄροτρον, οὐχ ἅλως, οὐ ληνός, οὐ ταμεῖον, καὶ τὴν τροφὴν εἶχον ἄσπορον καὶ ἀνήροτον[154], καὶ τὰς πηγὰς ἐχορήγει πέτρα, οὐ πρότερον οὔσας, ἀλλ' ἐκραγείσας ἐπὶ τῆς χρείας.

---

138) Τὴν στενοχωρίαν. 139) Ἀναβάλλει. 140) Τὴν σταθερότητα. 141) Διέλθε, ἀνάγνωθι.
142) Ὁ Ἠλίας κατῴκει τὸν Κάρμηλον. 143) Ἔρημος ὁ Κάρμηλος ἔρημον (δηλ. ὁ μονήρη?) τὸν Ἠλίαν. 144) Ἡ περὶ σωτηρίας τῆς ψυχῆς του φροντὶς ἦτον εἰς αὐτὸν τὸ πᾶν. 145) Δὲν ἔχασε. 146) Μετέβαλον την φύσιν των διὰ προσταγῆς τοῦ Θεοῦ.
147) Δηλ. ὁ Ἰσρ. νεανίσκος (ὁ Δανιὴλ) κατῴκησε τὸν λάκκον. 148) Κατὰ ἢ διὰ τὴν σ.
149) Τὰ παρὰ τῆς ψυχῆς καὶ τοῦ φρονήματος· δηλ. τί προῆλθεν εἰς αὐτὸν ἐκ τοῦ ὅτι εἶχε τοιαύτην ψυχήν. 150) Ὁ Δανιὴλ ἐρρίφθη εἰς λάκκον λεόντων, καὶ οἱ μὲν λέοντες δὲν τὸν ἔβλαψαν, ἐτρέφετο δὲ θαυμασίως ὑπὸ Ἀγγέλου. Δαν. ΣΤ'. 151) Ὁ προφήτης Ἀββακοὺμ μετεκομίσθη, ἀνασπασθεὶς ἀπὸ τοῦ ἔδους ἐξ Ἰουδαίας καὶ τῷ ἔφερε τροφήν.
152) Κ. § 114, σημ. 153) Δηλ. ὁ λαὸς τοῦ Ἰσραὴλ διοδεύων τὴν ἔρημον. [illegible]

Ἀφίημι τὰ καθ' ἕκαστον ἀπαριθμεῖσθαι τῆς τοῦ θεοῦ προνοίας, ἃ πολλάκις ἐπὶ τῶν ἀνθρώπων πατρικῶς ἐνεδείξατο. Σὺ δέ, καρτέρησον ὀλίγον ἐπὶ τῆς συμφορᾶς, ὡς ὁ γενναῖος Ἰώβ, καὶ μὴ περιτραπῇς[155] ἐκ τοῦ κλύδωνος μηδὲν ἀποβάλῃς ὧν φέρεις ἀγωγίμων[156] τῆς ἀρετῆς· ὡς βαρύτιμον ἐνθήκην[157] τὴν εὐχαριστίαν διάσωσον ἐπὶ τῆς ψυχῆς, καὶ λήψῃ καὶ σὺ τῆς εὐχαριστίας τὰ διπλασίονα τῆς τρυφῆς. Μνημόνευε τῆς Ἀποστολικῆς ῥήσεως· ἐν παντί[158] εὐχαριστεῖτε. Πένης εἶ; ἄλλον ἔχεις πάντως πενέστερον. Σοὶ δέκα ἡμερῶν τὰ σιτία[159]; ἐκείνῳ μιᾶς.

Ὡς καλὸς καὶ εὐγνώμων, τὸ σὸν περιττὸν ἐπανίσωσον[160] πρὸς τὸν ἐνδεῆ. Μὴ ὀκνήσῃς ἐκ τοῦ ὀλίγου δοῦναι· μὴ προτιμήσῃς τὸ σὸν συμφέρον ἐκ[161] τοῦ κοινοῦ κινδύνου. Κἂν εἰς ἕνα ἄρτον περιστῇ[162] ἡ τροφή, ἐπιστῇ δὲ ταῖς θύραις ὁ ζητῶν, προκόμισον ἐκ τοῦ ταμιείου τὸν ἕνα, καὶ ἐπιθεὶς ταῖς χερσὶ πρὸς οὐρανὸν ἀνατείνας[163], εἰπὲ λόγον ἐλεεινὸν[164] ὁμοῦ καὶ εὐγνώμονα. Εἷς ἄρτος, ὃν ὁρᾷς, Κύριε, καὶ ὁ κίνδυνος προφανής· ἀλλ' ἐγὼ τὴν σὴν ἐντολὴν ἐμοῦ προτίθημι[165], καὶ ἐκ τοῦ ὀλίγου δίδωμι τῷ λιμώττοντι ἀδελφῷ. Δὸς δὴ καὶ σὺ τῷ κινδυνεύοντι δούλῳ. Οἶδά σου τὴν ἀγαθότητα, θαῤῥῶ τῇ δυνάμει· οὐχ ὑπερτίθεσαι εἰς χρόνον[166] τὰς χάριτας, ἀλλὰ σκεδαννύεις ὅταν θέλῃς τὰς δωρεάς. Κἂν οὕτως εἴπῃς καὶ πράξῃς, ὃν δίδως ἐκ τῆς στενώσεως[167] ἄρτον, σπέρμα γίνεται γεωργίας, πολύχουν[168] ἀπογεννᾷ καρπόν, ἀῤῥαβὼν τῆς τροφῆς, ἐλέου πρόξενος. Εἰπὲ καὶ σὺ τῆς χήρας τῆς Σιδωνίας[169] ῥῆμα ἐν τοῖς ὁμοίοις, εὐκαίρως τῆς ἱστορίας μνημόνευσον· Ζῇ Κύριος ὅτι τοῦτον ἔχω ἐν τῇ οἰκίᾳ μόνον εἰς διατροφὴν ἐμοὶ καὶ τοῖς παιδίοις. Κἂν δῷς ἐκ τοῦ λείποντος, ἕξεις καὶ σὺ τὸν καμψάκην[170] τοῦ ἐλέου τῇ χάριτι βρύοντα, τὴν ὑδρίαν τῶν ἀλεύρων ἀκένωτον· ἐπὶ γὰρ τῶν πιστῶν, φιλοτίμως ἡ τοῦ θεοῦ χάρις μιμεῖται τὰ φρέατα, τὰ ἀεὶ κενούμενα καὶ μὴ ἐξαντλούμενα, τὸ διπλοῦν ἀντεισάγουσα[171]. Δάνεισον ὁ ἄπορος τῷ πλουσίῳ θεῷ[172], πίστευσον τῷ ἀεὶ εἰς πρόσωπον ἴδιον ὑπὲρ τοῦ θλιβομένου λαμβάνοντι, καὶ οἴκοθεν ἀποδιδόντι τὴν χάριν. Ἀξιόπιστος ὁ ἐγγυητής, πανταχοῦ γῆς καὶ θαλάττης ἠπλωμένους ἔχων τοὺς θησαυρούς. Καὶ πλέων ἐὰν ἀπαιτήσῃς τὸ δάνεισμα, λήψῃ ἐπὶ μέσου πελάγους σὺν τόκοις τὸ κεφάλαιον. Φιλοτιμεῖται γὰρ ἐν ταῖς προσθήκαις[173].

Τὸ τοῦ λιμώττοντος νόσημα, (ὁ) λιμός, οἰκτρὸν πάθος ἐστί· λιμός, ἀνθρωπίνων συμφορῶν ὑπάρχει τὸ κεφάλαιον[174]· πάντων θανάτων μοχθηρότε-

---

λιεργουμένην δι' ἀρότρου· ἐννοεῖ δὲ τὸ ἀπὸ τοῦ οὐρανοῦ καταπίπτον μάννα, ἴδε σημ. 26.

155) Ἀναποδογυρισθῇς, ὡς τὰ πλοῖα εἰς τὴν τρικυμίαν. 156) Ἐμπορευμάτων. Παραβάλλει τὸν Χριστιανὸν μὲ πλοῖον φορτωμένον, πλέον εἰς τρικυμίαν. 157) Τὸ φορτίον τοῦ πλοίου. 158) Καιρῷ ἢ ἔργῳ. 159) Ὑπάρχουσι. 160) Διδοὺς ὅ,τι περιττὸν ἔχεις εἰς τὸν ἐνδεῆ, κάμε νὰ ἔχετε ἴσα. 161) Μὴ ἐξαιρέσῃς δηλ. ἐκ τοῦ κοινοῦ κινδύνου τὸ συμφέρον σου καὶ προτιμήσῃς αὐτό. 162) Καταντήσῃ, περιορισθῇ. 163) Ἐνν. τὰς ὄψεις.

164) Κινοῦντα εἰς οἶκτον, εἰς ἔλεον. 165) Τίθημι πρὸ ἐμοῦ, προτιμῶ. 166) Δὲν ἀναβάλλεις εἰς μακρὸν χρόνον. 167) Ἐκ τῆς στενοχωρίας σου. 168) Πολλαπλασίως καρποφοροῦντα, ἄφθονον, ἐκ τοῦ πολὺ χέω. 169) Βασ. Γ'. 17. 170) Σαμψάκι, βαζί.

171) Ἀντὶ ὅσων δίδουσι. 172) Διότι ὁ δίδων εἰς ἐνδεῆ δανείζει εἰς τὸν θεόν, καὶ θέλει τὰ λάβει μετὰ τόκου ἀφθόνου. 173) Φιλοτιμεῖται νὰ προσθέτῃ ἀνταποδίδουσα.

174) Τὸ κυριώτερον.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ... ΕΥΑΓΓ. ΤΣ. Κ. Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ρον τέλος οὗτος[174]. Ἐπὶ γὰρ τῶν ἄλλων κινδύνων ἢ ξίφους ἀκμὴ τὴν τελευτὴν ὀξέως ἐφίστησιν[175], ἢ πυρὸς ὁρμὴ συντόμως τὸ ζῆν ἀποσβέννυσιν, ἢ θηρία τοῖς ὀδοῦσι διασπαράξαντα ὅσα καίρια τῶν μελῶν, οὐ συγχωρεῖ τῇ παρολκῇ τῆς ὀδύνης τιμωρηθῆναι[176]. Λιμὸς δὲ ἀργὸν[177] ἔχει τὸ κακόν, παρέλκουσαν τὴν ἀλγηδόνα, ἐγκαθημένην τὴν νόσον καὶ ἐμφωλεύουσαν, θάνατον ἀεὶ παρόντα καὶ ἀεὶ βραδύνοντα· τὸ γὰρ κατὰ φύσιν[178] ὑγρὸν ἐκδαπανᾷ, τὸ θερμὸν καταψύχει, τὸν ὄγκον συστέλλει, τὴν δύναμιν κατ' ὀλίγον ἀπομαραίνει· ἡ σὰρξ ὡς ἀράχνιον[179] τοῖς ὀστέοις περίκειται, ὁ χροῦς ἄνθος[180] οὐκ ἔχει· τὸ μὲν γὰρ ἐρυθρὸν φεύγει ἐκτηκομένου τοῦ αἵματος, τὸ λευκὸν δὲ οὐκ ἔστι, τῇ ἰσχνότητι[181] τῆς ἐπιφανείας μελαινομένης· πελιδνὸν δὲ τὸ σῶμα, ὠχρότητι καὶ τῷ μέλανι ἐλεεινῶς ἐκ τοῦ πάθους κρινόμενον[182]· γόνατα οὐ βαστάζοντα, ἀλλὰ πρὸς βίαν[183] ἑλκόμενα· φωνὴ λεπτὴ καὶ ἀδρανής· ὀφθαλμοὶ ἐνασθενοῦντες ταῖς κοιλότησιν[184], εἰκῇ ταῖς θήκαις[185] ἐναποκείμενοι, ὡς τὰ τοῖς ἐλύτροις ἐμψυγέντα τῶν ἀκροδρύων· γαστὴρ κενὴ καὶ συμπεπτωκυῖα καὶ ἄμορφος, οὐκ ὄγκον, οὐ φυσικὴν τῶν σπλάγχνων ἐπίτασιν ἔχουσα· τοῖς ὀστέοις δὲ τοῦ νώτου προσπεπλασμένη[186]. Ὁ οὖν τοιοῦτον σῶμα παρατρέχων[187], πόσων κολάσεων ἄξιος; Τίνα δὲ ὠμότητος ὑπερβολὴν καταλείψει[188]; Πῶς δὲ οὐκ ἄξιος τοῖς ἀνημέροις τῶν θηρίων συναριθμεῖσθαι, ὁρᾶσθαι δὲ ὡς ἐναγὴς καὶ ἀνδροφόνος; Ὁ γὰρ ἔχων ἐν ἐξουσίᾳ τὴν τοῦ κακοῦ θεραπείαν, ἑκὼν δὲ καὶ πρὸς πλεονεξίαν ὑπερτιθέμενος, εἰκότως ἂν ἐν τῷ ἴσῳ τῶν αὐτοχείρων[189] καταδικάζοιτο.

Τὸ τοῦ λιμοῦ πάθος κατηνάγκασε πολλοὺς πολλάκις καὶ τοὺς ὅρους κινῆσαι τῆς φύσεως, ἅψασθαι μὲν ἀνθρώπων[190] τῶν ὁμοφύλων σωμάτων, μητέρα δὲ παῖδα ὃν ἐκ τῆς γαστρὸς προήγαγε, πάλιν τῇ γαστρὶ κακῶς ὑποδέξασθαι[191]· καὶ τοῦτο τὸ δρᾶμα, Ἰουδαϊκὴ ἐτραγῴδησεν ἱστορία, ἣν Ἰώσηπος[192] ἡμῖν ὁ σπουδαῖος συνεγράψατο, ὅτε τὰ δεινὰ πάθη τοὺς Ἱεροσολυμίτας κατέλαβε, τῇ εἰς τὸν Κύριον δυσσεβείᾳ ἐνδίκους τιμωρίας τιννύντας[193]. Ὁρᾷς καὶ αὐτὸν τὸν ἡμέτερον Θεόν, τὰ μὲν ἄλλα τῶν παθῶν πολλάκις παρατρέχοντα, ἐπὶ δὲ τοῖς πεινῶσι συμπαθῶς σπλαγχνιζόμενον. Σπλαγχνίζομαι γάρ, φησίν, ἐπὶ τὸν ὄχλον. Διὸ καὶ ἐν τῇ τελευταίᾳ κρίσει, ἔνθα προσκαλεῖ τοὺς δικαίους ὁ Κύριος, τὴν πρώτην τάξιν ὁ μεταδοτικὸς ἐπέχει· ὁ τροφεύς, προστάτης[194] τῶν τιμωμένων· ὁ τὸν ἄρτον χορηγήσας, πρὸ πάντων καλεῖται· ὁ χρηστὸς καὶ εὐμετάδοτος, πρὸ τῶν ἄλλων δικαίων τῇ ζωῇ[195] παραπέμπεται· ὁ ἀκοινώνητος καὶ φειδωλός, πρὸ πάντων ἁμαρτωλῶν τῷ πυρὶ παραδίδοται.

---

174) Ὁ ἐκ λιμοῦ θάνατος. 175) Ἐπιφέρει. 176) Νὰ ὑποφέρῃ τις διὰ διαρκείας τῶν πόνων. 177) Βραδέως προβαῖνον. 178) Τὸ ἐκ φύσεως ἐνυπάρχον εἰς τὸ σῶμα. 179) Ἀράχνης ὕφασμα. 180) Ζωηρότητα. 181) Μελαινομένης τῆς ἐπιφ. διὰ τῆς ἰσχν. 182) Διακρινόμενον. Ἀλλ' ἴσ. διορθωτέον: Κιρνώμενον διότι τὸ πελιδνὸν εἶναι χρῶμα ὠχροῦ καὶ μέλανος. 183) Διὰ βίας. 184) Ἀσθενοῦντες ἐν ταῖς κοιλ. 185) Θήκας λέγει τὰ κοιλώματα καὶ τὰ βλέφαρα. 186) Κολλημένη. 187) Μὴ βοηθῶν. 188) Ποίαν ὠμότητα δὲν θέλει πράξει ἀφ' οὗ ἔπραξεν αὐτήν. 189) Ἐξ ἴσου μὲ τοὺς αὐτόχειρας. 190) Νὰ φάγωσιν ἀνθρώπους. 191) Φαγοῦσα αὐτόν. 192) Ἰώσηπος, ἱστορικός, γράψας ἱστορίαν ἢ ἀρχαιολογίαν τῶν Ἰουδαίων. 193) Τίνω ἢ τίννυμι· τιννύντας τιμωρίας (διὰ) τῇ δυσσεβείᾳ· τιμωρουμένους διὰ τὴν ἀσέβειάν των. 194) Ἤτοι πρωτοστάτης. 195) Εἰς τὴν αἰώνιον ζωήν, εἰς τὴν τοῦ παραδείσου.

Ἐπὶ τὴν μητέρα σε τῶν ἐντολῶν ὁ καιρὸς καλεῖ[196], καὶ σφόδρα μεμίμνησον, ἵνα σε μὴ παρέλθῃ ὁ τῆς πανηγύρεως καὶ τῶν συναλλαγμάτων καιρός. Ῥεῖ γὰρ ὁ χρόνος, καὶ οὐκ ἐκδέχεται τὸν βραδύνοντα· ἐπείγονται αἱ ἡμέραι, τὸν ὀκνηρὸν παρατρέχουσαι[197]· καὶ ὡς οὐκ ἔστι[198] ῥεῦμα ποταμοῦ στῆσαι εἰ μή τις κατὰ τὴν πρώτην ἔντευξιν καὶ προσβολὴν ἀνελόμενος[199] εἰς δέον τῷ ὕδατι χρήσαιτο, οὕτως οὐδὲ τὸν χρόνον ταῖς ἀναγκαστικαῖς περιόδοις ἐλαυνόμενον[200] ἐπισχεῖν[201], οὐδὲ παρελθόντα ἀνακαλέσαι εἰς τὸ κατόπιν, εἰμή τις προσάγοντος[202] λάβοιτο. Καὶ διὰ τοῦτο τὴν ἐντολὴν ὡς φεύγουσαν κάτασχε καὶ ἐπιτέλεσον, καὶ λαβόμενος πανταχόθεν, ἐν ταῖς ἀγκάλαις περίδραξαι. Δὸς ὀλίγα, καὶ πολλὰ κτῆσαι[203]. Λῦσον τὴν πρωτότυπον ἁμαρτίαν[204] τῇ τῆς τροφῆς μεταδόσει. Ὡς γὰρ Ἀδὰμ, κακῶς φαγὼν, τὴν ἁμαρτίαν παρέπεμψεν[205], οὕτως ἐξαλείφομεν ἡμεῖς τὴν ἐπίβουλον βρῶσιν[206], ἐὰν χρείαν ἀδελφοῦ καὶ λιμὸν θεραπεύσωμεν. Λαοὶ ἀκούσατε, Χριστιανοὶ ἐνωτίσασθε, ὅτι τάδε λέγει Κύριος, οὐ δημηγορῶν αὐτοφώνως[207], τοῖς δὲ τῶν δούλων στόμασιν ἐνηχῶν ὡς ὀργάνοις. Μὴ φανῶμεν οἱ λογικοὶ τῶν ἀλόγων ὠμότεροι· ἐκεῖνα γὰρ τοῖς ἐκ τῆς γῆς φυομένοις παρὰ τῆς φύσεως, κοινῇ κέχρηνται, καὶ προβάτων ἀγέλαι, ἓν καὶ τὸ αὐτὸ καταβόσκονται ὄρος· ἵπποι δὲ παμπληθεῖς μίαν καὶ τὴν αὐτὴν κατανέμονται πεδιάδα, καὶ πάντα τὰ καθ' ἕκαστον[208] ἀλλήλοις παραχωρεῖ[209] τῆς ἀναγκαίας τῶν χρειῶν ἀπολαύσεως. Ἡμεῖς δὲ ἐγκολπιζόμεθα[210] τὰ κοινὰ, τὰ τῶν πολλῶν μόνοι ἔχομεν. Αἰδεσθῶμεν Ἑλλήνων φιλάνθρωπα διηγήματα. Παρά τισιν ἐκείνων, νόμος φιλάνθρωπος μίαν τράπεζαν καὶ κοινὰ τὰ σιτία, μίαν ἑστίαν σχεδὸν τὸν πολυάνθρωπον δῆμον ἀπεργάζεται[211]. Καταλείψωμεν τοὺς ἔξωθεν καὶ ἀπέλθωμεν εἰς τὸ τῶν τρισχιλίων ὑπόδειγμα[212]· τὸ πρῶτον τῶν χριστιανῶν ζηλώσωμεν σύνταγμα[213], ὅπως ἦν αὐτοῖς ἅπαντα κοινὰ, ὁ βίος, ἡ ψυχὴ, ἡ συμφωνία, ἡ τράπεζα κοινὴ, ἀδιαίρετος ἀδελφότης, ἀγάπη ἀνυπόκριτος, τὰ πολλὰ σώματα ἓν ἐργαζομένη, τὰς διαφόρους ψυχὰς εἰς μίαν ὁμόνοιαν ἁρμόζουσα. Πολλὰ τῆς φιλαδελφίας ἔχεις ἐκ παλαιᾶς διαθήκης καὶ ἐκ τῆς νέας τὰ ὑποδείγματα. Πρεσβύτην ἐὰν ἴδῃς λιμώττοντα, μετάστειλαι[214] καὶ θρέψον, ὡς Ἰωσὴφ τὸν Ἰακώβ. Ἐχθρὸν ἐὰν εὕρῃς στενούμενον, μὴ ἐπιβάλῃς τῇ ὀργῇ τῇ κατεχούσῃ τὴν ἄμυναν[215], ἀλλὰ θρέψον ὡς ἐκεῖνος τοὺς ἀδελφοὺς τοὺς πωλήσαντας[216]. Ἐὰν ἐντύχῃς νεωτέρῳ καταπονου-

---

196) Ὁ καιρὸς καλεῖ σε ἐπὶ τὴν μητέρα (τὴν πρωτίστην) τῶν ἐντ. τὴν ἀγαθοεργίαν. 197) Ἀφήνουσιν ὀπίσω. 198) Δὲν εἶναι δυνατόν. 199) Δὲν ἠμπορεῖ νὰ σταματήσῃ τις τὸ ῥεῦμα τοῦ ποταμοῦ, ἐκτὸς ἐὰν, ἅμα τὸ ῥεῦμα ἀρχίσῃ νὰ τρέχῃ (δηλ. περὶ αὐτὰς ἀκόμη τὰς πηγάς του), τὸ ἀντλήσῃ καὶ τὸ μεταχειρισθῇ ὅπω πρέπει. 200) Κινούμενον. 201) Οἷόν τε ἐστι. 202) Πλησιάζοντος. 203) Προστακτ. 204) Τὴν τοῦ Ἀδὰμ. 205) Εἰς τοὺς μεταγενεστέρους. 206) Τοῦ μήλω ὑπὸ τοῦ Ἀδάμ. 207) Ὅτι δημηγορεῖ μὲν ὁ Θεὸς, ἀλλὰ διὰ τοῦ στόματος τοῦ λέγοντος. 208) Ἕκαστον εἶδος ζώω. 209) Συντάσ. μὲ δοτ. ἐκ γ', καὶ μὲ γεν. ἐκ δ'. 210) Σφετεριζόμεθα. 211) Τὰ συσσίτια τῶν Σπαρτιατῶν, ὅπω συνέτρωγον πλούσιοι καὶ πένητες. 212) Πράξεις Ἀπος. Κεφ. Β'. 41—47. 213) Σύστημα ἀνθρώπων. 214) Μετάπεμψον· στεῖλε καὶ φέρε τον. 215) Μὴν ἐπιβάλῃς τὴν ἄμυναν τῇ ὀργῇ. Μὴ προσθέσῃς καὶ τὴν σὴν ἐκδίκησιν εἰς τὴν κατέχουσαν αὐτὸν θείαν ὀργὴν (τοῦ λιμοῦ). 216) Αὐτόν.

μένῳ, οὕτω δάκρυσον[217], ὡς ἐκεῖνος Βενιαμὶν τὸν τοῦ γήρως υἱόν[218]. Πειράζει καὶ σὲ τυχὸν ἡ πλεονεξία, ὡς τὸν Ἰωσὴφ ἡ δέσποινα[219], ἕλκει καὶ τῶν ἱματίων, ἵνα τῆς ἐντολῆς καταφρονήσῃς, καὶ φιλήσῃς μᾶλλον ἐκείνης τὴν φιλόχρυσον καὶ φιλόκοσμον παρὰ τοῦ[219*] δεσπότου τὸ πρόσταγμα· ὅταν δὴ ἔλθῃ λογισμὸς τῇ ἐντολῇ ἐκείνῃ πολεμῶν, καὶ τὸν σώφρονα νοῦν εἰς τὴν φιλαργυρίαν ἐπισπώμενος, τῆς φιλαδελφίας καταναγκάζων ἀμελεῖν καὶ κατέχων[220] πρὸς αὐτήν, πρόσριψον καὶ σὺ τὰ ἱμάτια[221]· ὀργισθεὶς ἀναχώρησον· φύλαξον τῷ Κυρίῳ τὴν πίστιν, ὡς ἐκεῖνος τῷ Πετεφρῇ· ἐν ἑνὶ ἐνιαυτῷ τὴν ἔνδειαν οἰκονόμησον, ὡς ἐκεῖνος ἐν τοῖς ἑπτά[222].

Μὴ τὰ πάντα τῇ ἡδονῇ[223], δός τι καὶ τῇ ψυχῇ· καὶ δύο σοι νόμισον εἶναι θυγατέρας, τὴν εὐπάθειαν τὴν ἐνθάδε, καὶ τὴν ζωὴν τὴν ἐν τοῖς οὐρανοῖς. Εἰ μὴ θελήσῃς τὰ πάντα δοῦναι τῇ κρείττονι, μέρισον γοῦν ἐξ ἴσης τε τῇ ἀκολάστῳ παιδὶ καὶ τῇ σώφρονι. Μὴ τὴν ἐνταῦθα διαγωγὴν ὑπέρπλουτον δείξῃς[224], γυμνὴν δὲ τὴν ἄλλην καὶ ῥακίοις ἠμφιεσμένην[225], ἡνίκα ἂν δέῃ σε τῷ Χριστῷ παραστῆναι καὶ εἰς ὄψιν ἐλθεῖν τοῦ κριτοῦ, νύμφης ἔχουσαν[226] σχῆμα καὶ κλῆσιν[227] τὴν κατ' ἀρετὴν ζωήν. Μὴ τοίνυν ἄμορφον καὶ ἀκόσμον παραστήσῃς τῷ νυμφίῳ[228] τὴν νύμφην, ἵνα μὴ θεασάμενος ἀποκλίνῃ τὸ πρόσωπον, καὶ ἰδὼν μισήσῃ, καὶ τὴν συνάφειαν[229] ἀπαρνήσηται· ἀλλὰ στείλας[230] αὐτὴν τῷ προσήκοντι κόσμῳ, τήρησον εὔμορφον τῇ προθεσμίᾳ[231] τῶν γάμων, ἵνα καὶ αὐτὴ μετὰ τῶν φρονίμων παρθένων ἀνάψῃ τὴν λαμπάδα[232], ἔχουσα τὸ πῦρ τῆς γνώσεως ἄσβεστον, καὶ μὴ λείπουσα τῶν κατορθωμάτων τὸ ἔλαιον[233], ἵν' ἔργοις ἡ θεοφορουμένη[234] προφητεία βεβαιωθῇ, ἐφαρμόσῃ[235] δὲ καὶ τῇ σῇ ψυχῇ τὸ λεχθέν, **παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη· Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου**[236]. Ταῦτα γὰρ γενικῶς προανεφώνησεν ὁ ψαλμῳδὸς τοῦ γενικοῦ σώματος[237] προκηρύσσων τὴν ὥραν· ἐφαρμόσει δὲ κυρίως καὶ τῇ ἑκάστου ψυχῇ, ει ʼο ἐπὶ τῶν καθ' ἕκαστον ἡ ἐκκλησία ἔχει τὸ σύστημα[238].

Προνόησόν μοι λογικῶς τὸ παρὸν καὶ τὸ μέλλον, ὃ μὴ διὰ κέρδος αἰσχρὸν προδῷς[239]. Καταλείψει σε τὸ σῶμα τὸ σὸν γνώρισμα βίῳ· εἰς δὲ τὴν

---

217) Δάκρυσον (αὐτόν), ὡς ἐκεῖνος (ἐδάκρυσε τὸν Βενιαμίν). 218) Τὸν ἐπὶ τοῦ γήρως του γεννηθέντα. 219) Ἡ γυνὴ τοῦ Πουτιφὰρ ἢ Πεντεφρῆ εἰς τὴν Αἴγυπτον. 219*) Μᾶλλον παρά, ἀντὶ Μᾶλλον ἤ, ὡς καὶ ἐν τῇ συνηθείᾳ. 220) Κρατῶν σε πρὸς αὐτὴν (τὴν φιλαργυρίαν). 221) Μεταφορικῶς, ὡς ἂν τὸν ἐκράτει ὁ λογισμὸς ἀπὸ τὰ ἱμάτια, ὡς ἡ γυνὴ τοῦ Πουτιφὰρ τὸν Ἰωσήφ, ὅστις ἔρριψε τὰ ἱμάτιά του καὶ ἔφυγε. 222) Αἰνίττεται τὰ ἑπτὰ ἔτη τῆς ἐνδείας εἰς Αἴγυπτον, τὰ ὁποῖα ὁ Ἰωσὴφ ἐξωκονόμησεν ἐκ τῶν ἑπτὰ προηγηθέντων εὐφόρων ἐτῶν. 223) Ἑλλ. δός. 224) Ἀναδείξῃς, καταστήσῃς. 225) Ἀμφιέννυμι. 226) Ἡνίκα δέῃ σε παραστῆναι, μὴ δείξῃς ἔχουσαν. 227) Χάριν ἐνώπιον τοῦ Θεοῦ. Α. Σ. Κλῆσις. 4.

228) Εἰς τὸν Χριστόν. 229) Τὸν μετ' αὐτῆς σύνδεσμον. 230) Στέλλω, στολίσας.

231) Διὰ τὴν προθεσμίαν. 232) Εὐαγγ. κ. Ματθ. 25. 233) Μὴ ἀφήνουσα τὸ ἔλαιον τῶν κατορθωμάτων. Συγκρίνει τὰ κατορθώματα ἢ καλὰς πράξεις ὡς πρὸς τὴν ψυχήν, μὲ τὸ ἔλαιον ὡς πρὸς τὸν λύχνον. 234) Ἡ ἔνθεος, ἐμπνευσμένη. 235) Ἀμεταβ. θέλει ἐφαρμοσθῇ.

236) Ψαλμ. ΜΕ΄. 9. 11. 237) Ὅλου τοῦ χριστιανισμοῦ. 238) Τὸ ὅλον σύστημα τῆς ἐκκλησίας σύγκειται ἐκ τῶν καθ' ἕκαστον, ἐξ ἑνὸς ἑκάστου τῶν εἰς αὐτὴν ἀνηκόντων.

239) Τὸ ὁποῖον (μέλλον) μὴ προδώσῃς διὰ κέρδος.

Ε. ΓΑΛΑΝΗ Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐπιφάνειαν τοῦ προσδοκωμένου κριτοῦ καὶ ἀναμφιβόλως ἥξοντος, ἀποκλείσεις μὲν σεαυτῷ τὴν τῶν τιμῶν δόσιν καὶ τὴν ἐπουράνιον δόξαν, ἀνάξεις δὲ πῦρ ἄσβεστον καὶ γέενναν καὶ κολαστήρια, καὶ πικροὺς ἐν ὀδύναις αἰῶνας, ἀντὶ μακρᾶς καὶ αἰωνίας καὶ μακαρίας ζωῆς. Μή με νομίσῃς ὥσπερ μητέρα τινὰ ἢ τροφὸν ψευδῆ σοι μορμολύκεια[210] ἐπισείειν, ὥσπερ ἐκεῖναι ποιεῖν περὶ τοὺς νηπίους τῶν παίδων εἰώθασιν, ὅταν θρηνῶσιν ἄτακτα καὶ ἀπέραντα, δι' ἐπιπλάστων διηγημάτων κατασιγάζουσαι. Ταῦτα δὲ οὐ μῦθος, ἀλλὰ λόγος ἀψευδεῖ προκεκηρυγμένος φωνῇ. Καὶ ἔσται γε ἀκριβῶς κατὰ τὴν εὐαγγελικὴν πρόῤῥησιν, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ[211]· ἀλλὰ καὶ σῶμα τὸ ἐν θήκαις[212] ἀφανισθὲν ἀναστήσεται, καὶ ψυχὴ ἡ τῷ θανάτῳ ἀποκλεισθεῖσα[213], πάλιν ἐνοικήσει τῷ σώματι, καὶ τῶν βεβιωμένων[214] ἔλεγχος ἀκριβὴς παραστήσεται, οὐκ ἄλλων μαρτυρούντων, ἀλλ' αὐτῆς μαρτυρούσης τῆς συνειδήσεως. Ἑκάστῳ δὲ τὰ πρὸς ἀξίαν[215] παρὰ τοῦ δικαίου κριτοῦ ἀντιμετρηθήσεται. Ὅτι αὐτῷ πρέπει δόξα, κράτος καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

210) Φόβητρα. 211) Δὲν θέλει χαθῇ. Εὐαγγ. κ. 212) Εἰς τοὺς τάφους. 213) Τοῦ σώματος. 214) Τῶν ἐν τῷ βίῳ πραχθέντων. 215) Κατ' ἀξίαν τῶν ἔργων του.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

## ΠΑΡΑΙΝΕΣΙΣ ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΥΣ.

Διὰ τοῦ λόγου τούτου ὁ θεῖος πατὴρ συμβουλεύει τοὺς νέους Χριστιανοὺς μαθητὰς πῶς νὰ σπουδάζουν τὰ συγγράμματα τῶν ἀρχαίων Ἑλλήνων· καὶ ἡ παραίνεσις αὕτη δὲν ἦτον ἄπο σκοποῦ εἰς ἐποχὴν καθ' ἣν ἡ πολυθεΐα, καί τοι καταβεβλημένη ὑπὸ τὴν δύναμιν τοῦ σταυροῦ, ἤσπαιρεν ἀκόμη ἀπὸ καιρὸν εἰς καιρὸν διὰ τῶν Ἰουλιανῶν καὶ τῶν Λιβανίων· πρὸς τοὺς ὁποίους ἀντιφιλοτιμούμενος ἐπικαίρως ὁ μέγας οὗτος τῆς ἐκκλησίας διδάσκαλος, ἐπιτηδεύει τὴν περὶ τὸ λεκτικὸν τέχνην, μεταχειριζόμενος ὅλας τῆς ἀττικῆς μούσης τὰς ἴυγγας, καί τοι ὁμολογῶν καὶ καυχώμενος ἀφ' ἑτέρου ὅτι ἦτον «μαθητὴς ἁλιέων.»

### ΟΠΩΣ ΑΝ ΕΚ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΩΦΕΛΟΙΝΤΟ ΛΟΓΩΝ.

α. ΠΟΛΛΑ με τὰ παρακαλοῦντά ἐστι ξυμβουλεῦσαι ὑμῖν, ὦ παῖδες, ἃ βέλτιστα εἶναι κρίνω, καὶ ἃ ξυνοίσειν ὑμῖν ἑλομένοις πεπίστευκα. Τό, τε γὰρ ἡλικίας οὕτως ἔχειν, καὶ τὸ διὰ πολλῶν ἤδη γεγυμνάσθαι πραγμάτων, καὶ μὴν καὶ τὸ τῆς πάντα παιδευούσης ἐπ' ἄμφω[1] μεταβολῆς ἱκανῶς μετασχεῖν, ἔμπειρόν με εἶναι τῶν ἀνθρωπίνων πεποίηκεν· ὥστε τοῖς ἄρτι καθισταμένοις[2] τὸν βίον ἔχειν ὥσπερ ὁδοῦ τὴν ἀσφαλεστάτην ὑποδεικνύναι· τῇ τε παρὰ τῆς φύσεως οἰκειότητι[3] εὐθὺς μετὰ τοὺς γονέας ὑμῖν τυγχάνω· ὥστε μήτε αὐτὸν ἔλαττόν τι πατέρων εὐνοίας νέμειν ὑμῖν· ὑμᾶς τε νομίζω, εἰ μή τι ὑμῶν διαμαρτάνω τῆς γνώμης, μὴ ποθεῖν τοὺς τεκόντας πρὸς ἐμὲ βλέποντας. Εἰ μὲν οὖν προθύμως δέχοισθε τὰ λεγόμενα, τῆς δευτέρας τῶν ἐπαινουμένων ἔσεσθε παρ' Ἡσιόδῳ[4] τάξεως· εἰ δὲ μή, ἐγὼ μὲν οὐδὲν ἂν εἴποιμι δυσχερές, αὐτοὶ δὲ μέμνησθε τῶν ἐπῶν δηλονότι, ἐν οἷς ἐκεῖνός φησιν, « Ἄριστον μὲν εἶναι τὸν παρ' ἑαυτοῦ τὰ δέοντα ξυνορῶντα, ἐσθλὸν δὲ κἀκεῖνον, τὸν τοῖς παρ' ἑτέρων ὑποδειχθεῖσιν ἑπόμενον, τὸν δὲ πρὸς οὐδέτερον ἐπιτήδειον, ἀχρεῖον εἶναι πρὸς ἅπαντα ».

β. Μὴ θαυμάζητε δέ, εἰ, καθ' ἑκάστην ἡμέραν εἰς διδασκάλους φοιτῶσι, καὶ τοῖς ἐλλογίμοις τῶν παλαιῶν ἀνδρῶν, δι' ὧν καταλελοίπασι λόγων, συγγινομένοις ὑμῖν, αὐτός τι παρ' ἐμαυτοῦ λυσιτελέστερον ἐξευρηκέναι φημί. Τοῦτο μὲν οὖν[5] αὐτὸ καὶ συμβουλεύσων ἥκω, τὸ μὴ δεῖν, εἰσάπαξ τοῖς ἀνδράσι τούτοις, ὥσπερ πλοίου, τὰ πηδάλια τῆς διανοίας ὑμῶν παραδόντας, ᾗπερ ἂν ἄγωσι, ταύτῃ ξυνέπεσθαι· ἀλλ' ὅσον ἐστὶ χρήσιμον αὐτῶν δε-

---

[1]) Τὰ ἀγαθὰ τοῦ βίου καὶ τὰ ἐναντία, τὰς εὐτυχίας καὶ δυστυχίας. [2]) Καθισταμένοις (εἰς) τὸν βίον, (κοιν.) ἐμβαίνουν εἰς τὸν κόσμον, (ἀνάλογον μὲ τὸ) «καθίστασθαι εἰς ἀγῶνα κτλ.» [3]) Ἐκ τούτου συμπεραίνουσί τινες ὅτι ὁ λόγος ἐγράφη πρὸς συγγενῶν αὐτοῦ (ἴσως καὶ ὀρφανοὺς ὑπ' αὐτῷ παιδευομένους) υἱούς. [4]) Ἔργ. καὶ Ἡμέρ. 293: «Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσει· » «Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.» «Ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων Ἐν θυμῷ βάλληται, ὃ δ' αὖτ' ἀχρήϊος ἀνήρ.»

[5]) Αἰτιολογ. καὶ Ἐνστατ., διότι τοῦτο ἴσια — ἴσια καὶ ἐγώ.

χομένους, εἰδέναι τί χρὴ παριδεῖν. Τίνα οὖν ἐστὶ ταῦτα, καὶ ὅπως διακρινοῦμεν, τοῦτο δὴ καὶ διδάξω ἔνθεν ἑλών[6].

γ'. Ἡμεῖς[7], ὦ παῖδες, οὐδὲν εἶναι χρῆμα παντάπασι τὸν ἀνθρώπινον βίον τοῦτον ὑπολαμβάνομεν, οὔτ' ἀγαθόν τι νομίζομεν ὅλως, οὔτ' ὀνομάζομεν, ὃ τὴν συντέλειαν ἡμῖν ἄχρι τούτου[8] παρέχεται. Οὔκουν προγόνων περιφάνειαν, οὐκ ἰσχὺν σώματος, οὐ κάλλος, οὐ μέγεθος, οὐ τὰς παρὰ πάντων ἀνθρώπων τιμάς, οὐ βασιλείαν αὐτήν, οὐχ ὅ,τι ἂν εἴποι τις τῶν ἀνθρωπίνων, μέγα, ἀλλ' οὐδὲ εὐχῆς ἄξιον κρίνομεν, ἢ τοὺς ἔχοντας ἀποβλέπομεν[9]· ἀλλ' ἐπὶ μακρότερον πρόϊμεν ταῖς ἐλπίσι, καὶ πρὸς ἑτέρου βίου παρασκευὴν ἅπαντα πράττομεν. Ἃ μὲν οὖν ἂν συντελῇ πρὸς τοῦτον[10] ἡμῖν, ἀγαπᾶν τε καὶ διώκειν παντὶ σθένει χρῆναί φαμεν· τὰ δ' οὐκ ἐξικνούμενα πρὸς ἐκεῖνον, ὡς οὐδενὸς ἄξια, παρορᾶν.

δ'. Τίς δὴ οὖν οὗτος ὁ βίος, καὶ ὅπῃ, καὶ ὅπως αὐτὸν βιωσόμεθα, μακρότερον μέν, ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν[11], ἐφικέσθαι· μειζόνων δέ, ἢ καθ' ὑμᾶς, ἀκροατῶν ἀκοῦσαι. Τοσοῦτόν γε μὴν εἰπών, ἱκανῶς ἂν ἴσως ὑμῖν ἐνδειξαίμην ὅτι πᾶσαν ὁμοῦ τήν, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, τῷ λόγῳ τις συλλαβών, καὶ εἰς ἓν ἀθροίσας, εὐδαιμονίαν, οὐδὲ πολλοστῷ μέρει τῶν ἀγαθῶν ἐκείνων εὑρήσει παρισουμένην, ἀλλὰ πλεῖον τοῦ ἐν ἐκείνοις ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν κατὰ τὴν ἀξίαν ἀφεστηκότα, ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται. Μᾶλλον δέ, ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέρα σώματος, τοσοῦτον καὶ τῶν βίων ἑκατέρων ἐστὶ τὸ διάφορον. Εἰς δὴ τοῦτον[12] ἄγουσι μὲν[13] ἱεροὶ λόγοι, δι' ἀπορρήτων[14] ἡμᾶς ἐκπαιδεύοντες.

ε'. Ἕως γε μὴν ὑπὸ τῆς ἡλικίας ἐπακούειν τοῦ βάθους τῆς διανοίας αὐτῶν[15] οὐχ οἷόν τε, ἐν ἑτέροις[16], οὐ πάντῃ διεστηκόσιν, ὥσπερ ἐν σκιαῖς τισι καὶ κατόπτροις, τῷ τῆς ψυχῆς ὄμματι τέως προγυμναζόμεθα, τοὺς ἐν τοῖς τακτικοῖς τὰς μελέτας ποιουμένους μιμούμενοι· οἵ γε, ἐν χειρονομίαις καὶ ὀρχήσεσι τὴν ἐμπειρίαν κτησάμενοι, ἐπὶ τῶν ἀγώνων τοῦ ἐκ τῆς παιδιᾶς ἀπολαύουσι κέρδους. Καὶ ἡμῖν δὴ οὖν ἀγῶνα[17] προκεῖσθαι, πάντων ἀγώνων μέγιστον, νομίζειν χρεών, ὑπὲρ οὗ[18] πάντα ποιητέον ἡμῖν, καὶ πονητέον εἰς δύναμιν· καὶ ἐπὶ τὴν τούτου παρασκευὴν καὶ ποιηταῖς καὶ λογοποιοῖς καὶ ῥήτορσι καὶ πᾶσιν ἀνθρώποις ὁμιλητέον, ὅθεν ἂν μέλλῃ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ὠφέλειά τις ἔσεσθαι. Ὥσπερ οὖν οἱ δευσοποιοί, παρασκευάσαντες πρότερον θεραπείαις τισὶν ὅ,τι ποτ' ἂν ᾖ, τὸ δεξόμενον τὴν βαφήν, οὕτω τὸ ἄνθος ἐπάγουσιν, ἄν τε ἁλουργόν, ἄν τε τι ἕτερον ᾖ· τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον, εἰ μέλλοι ἀνέκπλυτος ἡμῖν ἡ τοῦ καλοῦ παραμένειν δόξα, τοῖς ἔξω δὴ τούτοις[19] προτελεσθέντες, τηνικαῦτα τῶν ἱερῶν

[6]) Αἱρέω (?), ἴδε Λεξικ. Σκαρλ. Βυζ. [7]) Οἱ Χριστιανοὶ δηλ. [8]) Τοῦ βίου. [9]) Θαυμάζομεν. [10]) Τὸν ἕτερον (τὸν μέλλοντα) βίον. [11]) Τὴν πρόθεσιν τοῦ παρόντος λόγου.
[12]) Τὸν βίον. [13]) Ἔχει ἐπακολουθοῦντα τὸν Γεμήν. [14]) Μυστηρίων καὶ δογμάτων.
[15]) Τῶν ἱερῶν καὶ ἀπορρήτων λόγων. [16]) Λόγοις. [17]) Τὸν ὑπὲρ τῆς ἀποκαύσεως τοῦ μέλλοντος βίου κατὰ τῆς ἁμαρτίας. [18]) Ἀγῶνος. [19]) Μαθήμασιν. Ἔξω ἢ θύραθεν σοφίαν ὠνόμαζον οἱ Ἐκκλησιαστικοὶ Πατέρες ὅλα τά, παρεκτὸς τῆς Θεολογίας καὶ τῶν Γραφῶν, μαθήματα: Γραμματικὴν δηλ. Ῥητορικήν, Φυσιολογίαν κτλ.

καὶ ἀποῤῥήτων ἐπακουσόμεθα παιδευμάτων, καὶ, οἷον ἐν ὕδατι τὸν ἥλιον ὁρᾷν ἐθισθέντες, οὕτως αὐτῷ προσβαλοῦμεν τῷ φωτὶ τὰς ὄψεις.

ς'. Εἰ μὲν οὖν ἐστί τις οἰκειότης πρὸς ἀλλήλους τοῖς λόγοις, προὔργου[20] ἂν ἡμῖν αὐτῶν ἡ γνῶσις γένοιτο· εἰ δὲ μὴ, ἀλλὰ τόγε, παράλληλα θέντας, καταμαθεῖν τὸ διάφορον, οὐ μικρὸν, εἰς βεβαίωσιν τοῦ βελτίονος. Τίνι μέντοι καὶ παρεικάσας τῶν παιδεύσεων ἑκατέραν, τῆς εἰκόνος ἂν τύχοις; Ἦπου, καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ τῷ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον τὰ φύλλα τοῖς κλάδοις περισειόμενα· οὕτω δὴ καὶ ψυχῇ, προηγουμένως μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ ἄχαρι γεμὴν οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλλα σκέπην τε τῷ καρπῷ καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα. Λέγεται τοίνυν καὶ Μωϋσῆς ἐκεῖνος ὁ πάνυ[21], οὗ μέγιστόν ἐστιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίοις μαθήμασιν ἐγγυμνασάμενος τὴν διάνοιαν, οὕτω προσελθεῖν τῇ θεωρίᾳ τοῦ Ὄντος[22]. Παραπλησίως δὲ τούτῳ κἂν τοῖς κάτω[23] χρόνοις τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνός φασι τὴν σοφίαν Χαλδαίων[24] καταμαθόντα, τότε τῶν θείων ἅψασθαι παιδευμάτων.

ζ'. Ἀλλ' ὅτι μὲν οὐκ ἄχρηστον ψυχαῖς μαθήματα τὰ ἔξω δὴ ταῦτα, ἱκανῶς εἴρηται· ὅπως γεμὴν αὐτῶν μεθεκτέον ὑμῖν, ἑξῆς ἂν εἴη λέγειν. Πρῶτον μὲν οὖν τοῖς παρὰ τῶν ποιητῶν[25] (ἵν' ἐντεῦθεν ἄρξωμαι· ἐπεὶ παντοδαποί τινές εἰσι) μὴ πᾶσιν ἐφεξῆς προσέχειν τὸν νοῦν. Ἀλλ' ὅταν μὲν τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις ἢ λόγους ἡμῖν διεξίωσιν, ἀγαπᾷν τε καὶ ζηλοῦν καὶ ὅτι μάλιστα πειρᾶσθαι τοιούτους εἶναι· ὅταν δὲ ἐπὶ μοχθηροὺς ἄνδρας ἔλθωσι, τὴν μίμησιν ταύτην δεῖ φεύγειν, ἐπιφρασσομένους τὰ ὦτα, οὐχ ἧττον ἢ τὸν Ὀδυσσέα, φασὶν ἐκεῖνοι[26], τὰ τῶν Σειρήνων μέλη. Ἡ γὰρ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια, ὁδός τίς ἐστιν ἐπὶ τὰ πράγματα. Διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. Οὐ τοίνυν ἐπαινεσόμεθα τοὺς ποιητὰς, οὐ λοιδορουμένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας ἢ μεθύοντας μιμουμένους[27]· οὐχ ὅταν τραπέζῃ πληθούσῃ καὶ ᾠδαῖς ἀνειμέναις τὴν εὐδαιμονίαν ὁρίζωνται. Πάντων δὲ ἥκιστα περὶ θεῶν τι διαλεγομένοις προσέξομεν· καὶ μάλισθ' ὅταν περὶ πολλῶν τε αὐτῶν διεξίωσι, καὶ τούτων οὐδ' ὁμονοούντων. Ἀδελφὸς γὰρ δὴ παρ' ἐκείνοις διαστασιάζει πρὸς ἀδελφὸν[28], καὶ γονεὺς πρὸς παῖδας[29], καὶ τούτοις αὖθις πρὸς τοὺς τεκόντας πόλεμός ἐστιν ἀκήρυκτος. Μοιχείας δὲ θεῶν καὶ ἔρωτας, καὶ μίξεις ἀναφανδὸν, καὶ ταύτας γε μάλιστα τοῦ κορυφαίου πάντων καὶ ὑπάτου Διὸς, ὡς αὐτοὶ λέγουσιν, ἃ[30] καὶ περὶ βοσκημάτων τις λέγων ἐρυθριάσειε, τοῖς ἐπὶ σκηνῆς[31] καταλείψομεν.

---

20) Συντελεστική, προκαταρτιστική. 21) Ὁ μέγας. 22) Τοῦ Θεοῦ. «Ἐγὼ (γάρ φησιν ὁ Θεὸς τῷ Μωσῇ) εἰμι ὁ Ὤν». Ἐξόδ. Γ', 14. 23) Μεταγενεστέρως πολὺ τοῦ Μωϋσέως· ὁ μὲν γὰρ ἐγεννήθη τῷ 1680 π. Χ., ὁ δὲ Δανιὴλ ἀπήχθη αἰχμάλωτος εἰς Βαβυλῶνα τῷ 599. 24) Δαν. Α', 4. 25) Λεγομένοις. 26) Φυγεῖν ἐπιφραξάμενον τὰ ὦτα, ἴδε Ὀδυσ. Μ. 170—200. 27) Οὐκ (ἐπαινεσόμεθα τοὺς ποιητὰς) μιμουμένους (τοὺς) ἐρῶντας καὶ μεθύοντας· ὡς ἐκ τρίτου τοῦ Μιμουμένους. 28) Ὡς ὁ Κρόνος πρὸς τοὺς Τιτᾶνας. 29) Ὡς ὁ Κρόνος πρὸς τὸν Οὐρανὸν καὶ ὁ Ζεὺς πρὸς τὸν Κρόνον. 30) Ταῦτα πάντα τὰ προειρημένα, μοιχείας δηλ. κτλ. 31) Τοῖς δραματοποιοῖς.

η΄. Ταὐτὰ δὴ ταῦτα λέγειν καὶ περὶ συγγραφέων ἔχω, καὶ μάλισθ' ὅταν ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων, λογοποιῶσι. Καὶ ῥητόρων δὲ τὴν περὶ τὸ ψεύδεσθαι τέχνην οὐ μιμησόμεθα. Οὔτε γὰρ ἐν δικαστηρίοις, οὔτ' ἐν ταῖς ἄλλαις πράξεσιν, ἐπιτήδειον ἡμῖν τὸ ψεῦδος, τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου, οἷς τὸ μὴ δικάζεσθαι, νόμῳ προστεταγμένον[52] ἐστίν· ἀλλ' ἐκεῖνα αὐτῶν μᾶλλον ἀποδεξόμεθα, ἐν οἷς ἀρετὴν ἐπῄνεσαν, ἢ πονηρίαν διέβαλον. Ὡς γὰρ τῶν ἀνθέων τοῖς μὲν λοιποῖς ἄχρι τῆς εὐωδίας ἢ τῆς χρόας ἐστὶν ἡ ἀπόλαυσις· ταῖς μελίτταις δ' ἄρα καὶ μέλι λαμβάνειν ἀπ' αὐτῶν ὑπάρχει· οὕτω δὴ κἀνταῦθα, τοῖς μὴ τὸ ἡδὺ καὶ ἐπίχαρι μόνον τῶν τοιούτων λόγων διώκουσιν, ἔστι τινὰ καὶ ὠφέλειαν ἀπ' αὐτῶν εἰς τὴν ψυχὴν ἀποθέσθαι. Κατὰ πᾶσαν δὴ οὖν τῶν μελιττῶν τὴν εἰκόνα, τῶν λόγων ἡμῖν μεθεκτέον. Ἐκεῖναί τε γὰρ, οὔτε ἅπασι τοῖς ἄνθεσι παραπλησίως ἐπέρχονται, οὔτε μὴν, οἷς ἂν ἐπιπτῶσιν, ὅλα φέρειν ἐπιχειροῦσιν· ἀλλ' ὅσον αὐτῶν ἐπιτήδειον πρὸς τὴν ἐργασίαν λαβοῦσαι, τὸ λοιπὸν χαίρειν ἀφῆκαν· ἡμεῖς τε, ἢν σωφρονῶμεν, ὅσον οἰκεῖον ἡμῖν, καὶ συγγενὲς τῇ ἀληθείᾳ παρ' αὐτῶν[53] κομισάμενοι, ὑπερβησόμεθα τὸ λειπόμενον. Καὶ καθάπερ τῆς ῥοδωνιᾶς τοῦ ἄνθους δρεψάμενοι, τὰς ἀκάνθας ἐκκλίνομεν· οὕτω καὶ ἐπὶ τῶν τοιούτων λόγων, ὅσον χρήσιμον καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξόμεθα.

θ΄. Εὐθὺς οὖν ἐξ ἀρχῆς ἐπισκοπεῖν ἕκαστον τῶν μαθημάτων καὶ συναρμόζειν τῷ τέλει προσῆκε, κατὰ τὴν Δωρικὴν παροιμίαν, Τὸν λίθον ποτὶ τὰν σπάρταν[54] ἄγοντας. Καὶ ἐπειδήπερ δι' ἀρετῆς ἡμᾶς ἐπὶ τὸν βίον καθεῖναι[55] δεῖ τὸν ἡμέτερον, εἰς ταύτην δὲ πολλὰ μὲν ποιηταῖς, πολλὰ δὲ συγγραφεῦσι, πολλῷ δ' ἔτι πλείω φιλοσόφοις ἀνδράσιν ὕμνηται, τοῖς τοιούτοις τῶν λόγων μάλιστα προσεκτέον. Οὐ μικρὸν γὰρ τὸ ὄφελος, οἰκειότητά τινα καὶ συνήθειαν ταῖς τῶν νέων ψυχαῖς τῆς ἀρετῆς ἐγγενέσθαι. Ἐπείπερ ἀμετάστατα πέφυκεν εἶναι τὰ τῶν τοιούτων μαθήματα, δι' ἁπαλότητα τῶν ψυχῶν, εἰς βάθος ἐνσημαινόμενα. Ἢ τί ποτ' ἄλλο διανοηθέντα τὸν Ἡσίοδον ὑπολάβωμεν ταυτὶ ποιῆσαι τὰ ἔπη ἃ πάντες ᾄδουσιν; ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπ' ἀρετήν; Ὅτι[56] τραχεῖα μὲν πρῶτον καὶ δύσβατος, καὶ ἱδρῶτος συχνοῦ, καὶ πόνου πλήρης, ἡ πρὸς ἀρετὴν φέρουσα, καὶ ἀνάντης ὁδός. Διόπερ οὐ παντὸς οὔτε προσβῆναι αὐτῇ διὰ τὸ ὄρθιον, οὔτε προσβάντι ῥᾳδίως ἐπὶ τὸ ἄκρον ἐλθεῖν. Ἄνω δὲ γενομένῳ ὁρᾷν ὑπάρχει, ὡς μὲν λεία τε καὶ καλὴ, ὡς δὲ ῥᾳδία τε καὶ εὔπορος, καὶ τῆς ἑτέρας ἡδίων, τῆς ἐπὶ τὴν κακίαν ἀγούσης· ἣν[56*] ἀθρόον εἶναι λαβεῖν ἐκ τοῦ σύνεγγυς ὁ αὐτὸς οὗτος ποιητὴς ἔφησεν. Ἐμοὶ μὲν γὰρ δοκεῖ οὐδὲν ἕτερον, ἢ προτρέπων ἡμᾶς ἐπ' ἀρετὴν, καὶ προκαλούμενος ἅπαντας ἀγαθοὺς εἶναι, ταῦτα διελθεῖν, καὶ ὥστε μὴ, καταμαλακισθέντας πρὸς τοὺς πόνους, προαποστῆναι[57] τοῦ τέλους. Καὶ μέντοι καὶ εἴ τις ἕτερος ἐοικότα τούτοις τὴν ἀρετὴν ὕμνησεν, ὡς εἰς ταὐτὸ ἡμῖν φέροντας τοὺς λόγους ἀποδεχόμεθα.

---

52) «Μὴ κρίνετε ἵνα μὴ κριθῆτε». Εὐαγγ. Ματθ. ζ΄. 53) Τῶν ἔξωθεν Ποιητῶν ἢ συγγραφέων. 54) Δωρικῶς ἀντὶ Πρὸς τὴν σπάρτην, ἴδε τὰ Λεξικά. 55) Ἡμᾶς (τοὺς χριστιανοὺς) δεῖ καθεῖναι (ἀφικέσθαι) ἐπὶ τὸν ἡμέτερον (τὸν μέλλοντα δηλονότι) βίον δι' ἀρετῆς, ἴδε σχολ. 10. 56) Ἡσιόδ. Ἔργ. καὶ Ἡμέρ. 289—294. 56*) Τὴν κακίαν. «Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι» αὐτ. 57) Ἀποστῆναι (τοῦ σκοποῦ) πρὸ τοῦ τέλους.

ι'. Ὡς δ' ἐγώ τινος ἤκουσα δεινοῦ καταμαθεῖν ἀνδρὸς ποιητοῦ διάνοιαν, πᾶσα μὲν ἡ ποίησις τῷ Ὁμήρῳ ἀρετῆς ἐστιν ἔπαινος, καὶ πάντα αὐτῷ πρὸς τοῦτο[38] φέρει, ὅ,τι μὴ πάρεργον· οὐχ ἥκιστα δὲ, ἐν οἷς τὸν στρατηγὸν τῶν Κεφαλλήνων[39] πεποίηκε, γυμνὸν ἐκ τοῦ ναυαγίου περισωθέντα, πρῶτον μὲν αἰδέσαι τὴν βασιλίδα[40], φανέντα μόνον· τοσούτου δεῖν αἰσχύνην ὀφλῆσαι, γυμνὸν ὀφθέντα μόνον[41]· ἐπειδήπερ αὐτὸν ἀρετῇ ἀντὶ ἱματίων κεκοσμημένον ἐποίησεν· ἔπειτα μέντοι καὶ τοῖς λοιποῖς Φαίαξι τοσούτου ἄξιον νομισθῆναι, ὥστε ἀφέντας τὴν τρυφὴν, ᾗ συνέζων, ἐκεῖνον ἀποβλέπειν καὶ ζηλοῦν ἅπαντας· καὶ μηδένα Φαιάκων, ἐν τῷ τότε εἶναι[42], ἄλλο τι ἂν εὔξασθαι μᾶλλον, ἢ Ὀδυσσέα γενέσθαι, καὶ ταῦτα, ἐκ ναυαγίου περισωθέντα. Ἐν τούτοις γὰρ, ἔλεγεν ὁ τοῦ ποιητοῦ τῆς διανοίας ἐξηγητὴς, μονονουχὶ βοῶντα λέγειν τὸν Ὅμηρον, ὅτι ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἥτις καὶ ναυαγήσαντι συνεκνήχεται, καὶ ἐπὶ τῆς χέρσου γενόμενον γυμνὸν, τιμιώτερον ἀποδείξει τῶν εὐδαιμόνων Φαιάκων. Καὶ γὰρ οὕτως ἔχει. Τὰ μὲν ἄλλα τῶν κτημάτων οὐ τῶν ἐχόντων ἢ καὶ οὑτινοσοῦν τῶν ἐπιτυχόντων ἐστὶν, ὥσπερ ἐν παιδιᾷ μᾶλλον κύβων τῇδε κἀκεῖσε μεταβαλλόμενα· μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετον, καὶ ζῶντι καὶ τελευτήσαντι παραμένουσα. Ὅθεν καὶ Σόλων μοι δοκεῖ πρὸς τοὺς εὐπόρους εἰπεῖν·

Ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί·
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Παραπλήσια δὲ τούτοις καὶ τὰ Θεόγνιδος, ἐν οἷς φησι τὸν Θεὸν, ὅντινα δὴ καί φησι, τοῖς ἀνθρώποις τὸ τάλαντον ἐπιῤῥέπειν ἄλλοτε ἄλλως,

Ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.

ια'. Καὶ μὴν καὶ ὁ Κεῖός που σοφιστὴς Πρόδικος[43] τῶν ἑαυτοῦ συγγραμμάτων[43], ἀδελφὰ τούτοις εἰς ἀρετὴν καὶ κακίαν ἐφιλοσόφησεν· ᾧ δὴ καὶ αὐτῷ τὴν διάνοιαν προσεκτέον· οὐ γὰρ ἀπόβλητος ὁ ἀνήρ. Ἔχει δὲ οὕτω πως ὁ λόγος αὐτῷ, ὅσα ἐγὼ τοῦ ἀνδρὸς τῆς διανοίας μέμνημαι· ἐπεὶ τά γε ῥήματα οὐκ ἐπίσταμαι· πλήν γε δὴ ὅτι ἁπλῶς οὕτως εἴρηκεν ἄνευ μέτρου. Ὅτι[44] νέῳ ὄντι τῷ Ἡρακλεῖ κομιδῇ, καὶ σχεδὸν ταύτην ἄγοντι τὴν ἡλικίαν, ἣν καὶ ὑμεῖς νῦν, βουλευομένῳ, ποτέραν τράπηται τῶν ὁδῶν, τὴν διὰ τῶν πόνων ἄγουσαν πρὸς ἀρετὴν, ἢ τὴν ῥάστην, προσελθεῖν[45] δύο γυναῖκας· ταύτας δὲ εἶναι Ἀρετὴν καὶ Κακίαν· εὐθὺς μὲν οὖν καὶ σιωπώσας ἐμφαίνειν ἀπὸ τοῦ σχήματος τὸ διάφορον· εἶναι γὰρ τὴν μὲν ὑπὸ κομμωτικῆς διεσκευασμένην εἰς κάλλος, καὶ ὑπὸ τρυφῆς διαῤῥεῖν, καὶ πάντα ἑσμὸν ἡδονῆς ἐξηρτημένην ἄγειν· ταῦτά τε οὖν δεικνύναι, καὶ ἔτι πλείω τούτων ὑπισχνουμένην, ἕλκειν ἐπιχειρεῖν τὸν Ἡρακλέα πρὸς ἑαυτήν. Τὴν δὲ ἑτέραν

---

38) Τὸν τῆς ἀρετῆς ἔπαινον. 39) Κυρίως βασιλέα τῶν Ἰθακησίων τὸν Ὀδυσσέα. 40) Ναυσικάαν, τὴν θυγατέρα Ἀλκινόου τοῦ Βασιλέως τῶν Φαιάκων. 41) Περιττὸν φαίνεται, παρεισφρῆσαν ἀντιγραφέων ῥεμβασμῷ εἰς τὸ κείμενον. 42) Ἀττικισμὸς, κατὰ τὸ, τό γε νῦν εἶναι, ἴδ. §. 23. 43) Τὸ Πρόδικος φαίνεται παρεισδῦσαν ἐκ σημειώσεως σχολιαστοῦ τινος εἰς τὸ κείμενον: ἡ δὲ γεν. κλπ. ἀναφέρεται εἰς τὸ Που. 44) Ἴδε Ξενοφ. Ἀπομν. Β', α', 21—34. 45) Ἔτρεψε τὸν λόγον συμπτύξας εἰς ἀπαρέμφατον, κατὰ σχῆμα ῥητορικὸν ὥσπερ ἐπιλαθόμενος.

κατεσκληκέναι καὶ αὐχμεῖν, καὶ σύντονον βλέπειν, καὶ λέγειν τοιαῦτα ἕτερα· ὑπισχνεῖσθαι γὰρ οὐδὲν ἀνειμένον, οὐδὲ ἡδύ, ἀλλὰ ἱδρῶτας μυρίους, καὶ πόνους, καὶ κινδύνους διὰ πάσης ἠπείρου τε καὶ θαλάσσης· ἆθλον δὲ τούτων εἶναι θεὸν γενέσθαι, ὡς ὁ ἐκείνου[86] λόγος. Ἧπερ δὴ καὶ τελευτῶντα τὸν Ἡρακλέα ξυνέπεσθαι.

ιβ'. Καὶ σχεδὸν ἅπαντες, ὧν δὴ καὶ λόγος τίς ἐστιν ἐπὶ σοφίᾳ, ἢ μικρόν, ἢ μεῖζον, εἰς δύναμιν ἕκαστος, ἐν τοῖς ἑαυτῶν συγγράμμασιν, ἀρετῆς ἔπαινον διεξῆλθον· οἷς πειστέον, καὶ πειρατέον ἐπὶ τοῦ βίου δεικνύναι τοὺς λόγους. Ὡς ὅγε τὴν ἄχρι ῥημάτων παρὰ τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν,

Οἷος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι[87]

Καί μοι δοκεῖ τὸ τοιοῦτον παραπλήσιον εἶναι, ὥσπερ ἂν εἰ ζωγράφου θαυμαστόν τι οἷον κάλλος ἀνθρώπου μιμησαμένου, ὁ δέ, αὐτὸς εἴη τοιοῦτος ἐπὶ τῆς ἀληθείας, οἷον ἐπὶ τῶν πινάκων ἐκεῖνος ἔδειξεν. Ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν ἀρετὴν εἰς τὸ μέσον, καὶ μακροὺς ὑπὲρ αὐτῆς ἀποτείνειν λόγους, ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφροσύνης, καὶ τὸ πλεῖον ἔχειν πρὸ τοῦ δικαίου τιμᾶν[88], ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς ὑποκρινομένοις τὰ δράματα· οἳ ὡς βασιλεῖς καὶ δυνάσται πολλάκις εἰσέρχονται, οὔτε βασιλεῖς ὄντες, οὔτε δυνάσται, οὐδὲ μὲν οὖν τυχὸν ἐλεύθεροι τὸ παράπαν. Εἶτα μουσικὸς μὲν οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύραν εἶναι· καὶ χοροῦ κορυφαῖος, μὴ ὅτι μάλιστα συνᾴδοντα τὸν χορὸν ἔχειν· αὐτὸς δὲ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτόν, καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται; ἀλλ', Ἡ γλῶττα μὲν ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος, κατ' Εὐριπίδην[89], ἐρεῖ; καὶ τὸ δοκεῖν ἀγαθὸς πρὸ τοῦ εἶναι διώξεται; Ἀλλ' οὗτός ἐστιν ὁ ἔσχατος τῆς ἀδικίας ὅρος, εἴ τι δεῖ Πλάτωνι πείθεσθαι, τὸ δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα.

ιγ'. Τοὺς μὲν οὖν τῶν λόγων, οἳ τὰς τῶν καλῶν ἔχουσιν ὑποθήκας, οὕτως ἀποδεχόμεθα. Ἐπειδὴ δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν, ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασώζονται, ἢ ποιητῶν ἢ συγγραφέων φυλαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπολειπώμεθα. Οἷον· Ἐλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων· ὁ δέ, οὐ προσεῖχε· καὶ εἰς πᾶσαν διήρκεσε τὴν ἡμέραν, ὁ μὲν ἀφειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν· ὁ δέ, οὐ μέλον αὐτῷ[90]. Εἶτα, ἑσπέρας ἤδη καὶ σκότους, ἀπαλλαττόμενον μόλις, ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρείη τὸ πρὸς φιλοσοφίαν γυμνάσιον. Πάλιν τις Εὐκλείδῃ τῷ Μεγαρόθεν παροξυνθείς, θάνατον ἠπείλησε, καὶ ἐπώμοσεν· ὁ δέ, ἀντώμοσεν, ἦ μὴν ἱλεώσεσθαι αὐτόν, καὶ παύσειν πρὸς αὐτὸν χαλεπῶς ἔχοντα. Πόσου ἄξιον, τῶν τοιούτων τι παραδειγμάτων εἰσελθεῖν τὴν μνήμην ἀνδρός, ὑπ' ὀργῆς ἤδη κατεχομένου; Τῇ τραγῳδίᾳ γὰρ οὐ πιστευτέον, ἁπλῶς λεγούσῃ, Ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει

---

86) Τοῦ Κείου ποιητοῦ: λέγει δὲ τοῦτο ἀποτροπιαζόμενος τὸ βλάσφημον τῆς τοῦ Ἡρακλέους θεοποιήσεως. 87) Ὅπερ Ὅμηρος ἔφη (Ὀδυσ. Κ. 493) περὶ Τειρεσίου. 88) Τὰ ἀφῃρημένα ἀντὶ συγκεκριμένων: τὴν ἡδονὴν προτιμᾶν τῆς σωφροσύνης, καὶ τὴν πλεονεξίαν τῆς δικαιοσύνης, ἴδε τὴν 93 σημείωσιν. 89) Ἱππόλ. 612. 90) Σχῆμα λόγου τὸ κατ' ἐναλλαγήν.

χέρα· ἀλλὰ μάλιστα μέν, μηδὲ διανίστασθαι πρὸς θυμὸν τὸ παράπαν· εἰ δὲ μὴ ῥᾴδιον τοῦτο, ἀλλ᾿ ὥσπερ χαλινὸν αὐτῷ τὸν λογισμὸν ἐμβάλλοντας, μὴ ἐᾷν ἐκφέρεσθαι περαιτέρω. Ἐπανάγωμεν δὲ τὸν λόγον αὖθις πρὸς τὰ τῶν σπουδαίων πράξεων παραδείγματα. Ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον, ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ, οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι· ὥστε ἐξοιδεῖν ἤδη, καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶν εἶναι. Ὡς δ᾿ οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ προσώπῳ λέγεται, ὥσπερ ἀνδριάντι, τὸν δημιουργόν, Ὁ δεῖνα ἐποίει· καὶ τοσοῦτον[80*] ἀμύνασθαι.

ιδ'. Ταῦτα, σχεδὸν εἰς ταὐτὸ τοῖς ἡμετέροις φέροντα, πολλοῦ ἄξιον εἶναι μιμήσασθαι τοὺς τηλικούτους[81] φημί. Τουτὶ μὲν γὰρ τὸ τοῦ Σωκράτους ἀδελφὸν ἐκείνῳ τῷ παραγγέλματι, ὅτι τῷ τύπτοντι κατὰ τῆς σιαγόνος καὶ τὴν ἑτέραν παρέχειν προσῆκε[81*]· τοσούτου δεῖν ἀπαμύνασθαι! Τὸ δὲ τοῦ Περικλέους ἢ τοῦ Εὐκλείδου[82], τῷ, τοὺς διώκοντας ὑπομένειν[83], καὶ πρᾴως αὐτῶν τῆς ὀργῆς ἀνέχεσθαι· καὶ τῷ τοῖς ἐχθροῖς εὔχεσθαι τἀγαθά, ἀλλὰ μὴ ἐπαρᾶσθαι· ὡς ὅγε ἐν τούτοις προπαιδευθείς, οὐκ ἔτ᾿ ἂν ἐκείνοις, ὡς ἀδυνάτοις, δυσπιστήσειεν. Οὐκ ἂν παρέλθοιμι τὸ τοῦ Ἀλεξάνδρου ὃς τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβών, θαυμαστόν τι οἷον τὸ κάλλος παρέχειν μαρτυρουμένας, οὐδὲ προσιδεῖν ἠξίωσεν, αἰσχρὸν εἶναι κρίνων, τοὺς ἄνδρας ἑλόντα, γυναικῶν ἡττηθῆναι. Τουτὶ γὰρ εἰς ταὐτὸν ἐκείνῳ φέρει· ὅτι[84] ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικί, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι, οὐκ ἀφίεται τοῦ ἐγκλήματος. Τὸ δὲ τοῦ Κλεινίου, τῶν Πυθαγόρου γνωρίμων ἑνός, χαλεπὸν πιστεῦσαι ἀπὸ ταὐτομάτου συμβῆναι τοῖς ἡμετέροις, ἀλλ᾿ οὐχὶ μιμησαμένου σπουδῇ. Τί δὲ ἦν, ὃ ἐποίησεν ἐκεῖνος; Ἐξὸν δι᾿ ὅρκου τριῶν ταλάντων ζημίαν ἀποφυγεῖν, ὁ δὲ ἀπέτισε μᾶλλον ἢ ὤμοσε· καὶ ταῦτα, εὐορκεῖν μέλλων· ἀκούσας, ἐμοὶ δοκεῖν, τοῦ προστάγματος, τοῦ τὸν ὅρκον[85] ἡμῖν ἀπαγορεύοντος.

ιε'. Ἀλλ᾿ ὅπερ ἐξ ἀρχῆς ἔλεγον, πάλιν εἰς ταὐτὸν ἐπανίωμεν[86]· οὐ πάντα ἑξῆς πα[ραλη]πτέον ἡμῖν, ἀλλ᾿ ὅσα χρήσιμα. Καὶ γὰρ αἰσχρὸν τῶν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι· τῶν δὲ μαθημάτων ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν· ἀλλ᾿, ὥσπερ χειμάῤῥους, παρασύροντας ἅπαν τὸ προστυχὸν ἐμβάλλεσθαι.

ιϛ'. Καίτοι τίνα ἔχει λόγον, κυβερνήτην μὲν οὐκ εἰκῆ τοῖς πνεύμασιν ἀφιέναι, ἀλλὰ πρὸς ὅρμους εὐθύνειν τὸ σκάφος· καὶ τοξότην κατὰ σκοποῦ βάλλειν· καὶ μὲν δή, καὶ χαλκευτικόν τινα ἢ τεκτονικὸν ὄντα, τοῦ κατὰ τὴν τέχνην ἐφίεσθαι τέλους· ἡμᾶς δὲ καὶ τῶν τοιούτων δημιουργῶν ἀπολείπεσθαι, πρός γε τὸ συνορᾶν δύνασθαι τὰ ἡμέτερα; Οὐ γὰρ δή τῶν μὲν χειρωνακτῶν ἔστι τι πέρας τῆς ἐργασίας, τοῦ δὲ ἀνθρωπίνου βίου σκοπὸς

---

80*) (Κατὰ) τοσοῦτον ἀμύνασθαι (αὐτόν). 81) Τόσον μεγάλους τὴν ἡλικίαν, ὅσον εἶσθε σεῖς. 81*) Ματθ. Ε'. 39. 82) Ἐνν. ἀδελφόν ἐστι. 83) Ματθ. Ε'. 44. 84) Ματθ. Ε'. 28. 85) Ματθ. Ε', 34. 86) Ἀλλ᾿ ἐπανίωμεν π. εἰς ταὐτόν, ὅπερ ἐξ ἀρχ. κτλ., τὸ σχῆμα πρωθύστερον.

οὐκ ἔστι, πρὸς ὃν ἀφορῶντα πάντα ποιεῖν καὶ λέγειν χρὴ, τόν γε μὴ τοῖς ἀλόγοις προσεοικέναι μέλλοντα. Ἢ οὕτως ἂν εἴημεν ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα, οὐδενὸς ἡμῖν νοῦ ἐπὶ τῶν τῆς ψυχῆς οἰάκων καθεζομένου, εἰκῇ κατὰ τὸν βίον ἄνω καὶ κάτω περιφερόμενοι. Ἀλλ᾽ ὥσπερ[56] ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, εἰ δὲ βούλει, τοῖς μουσικοῖς, ἐκείνων εἰσὶ τῶν ἀγώνων αἱ μελέται, ὧνπερ οἱ στέφανοι· καὶ οὐδείς γε πάλην ἀσκῶν, ἢ παγκράτιον, εἶτα κιθαρίζειν ἢ αὐλεῖν μελετᾷ. Οὔκουν ὁ Πολυδάμας γε[57], ἀλλ᾽ ἐκεῖνος πρὸ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιάσι τὰ ἅρματα ἵστη τρέχοντα, καὶ διὰ τούτων τὴν ἰσχὺν ἐκράτυνε. Καὶ ὅγε Μίλων ἀπὸ τῆς ἀληλιμμένης ἀσπίδος οὐκ ἐξωθεῖτο, ἀλλ᾽ ἀντεῖχεν ὠθούμενος, οὐχ ἧττον, ἢ οἱ ἀνδριάντες οἱ τῷ μολύβδῳ συνδεδεμένοι. Καὶ ἁπαξαπλῶς, αἱ μελέται αὐτοῖς παρασκευαὶ τῶν ἄθλων ἦσαν. Εἰ δὲ τὰ Μαρσύου ἢ τὰ Ὀλύμπου, τῶν Φρυγῶν, περιειργάζοντο κρούματα, καταλιπόντες τὴν κόνιν καὶ τὰ γυμνάσια, ταχύ γ᾽ ἂν[58] στεφάνων ἢ δόξης ἔτυχον, ἢ διέφυγον τὸ μὴ καταγέλαστοι εἶναι κατὰ τὸ σῶμα. Ἀλλ᾽ οὐ μέν τοι οὐδὲ ὁ Τιμόθεος, τὴν μελῳδίαν ἀφεὶς, ἐν ταῖς παλαίστραις διῆγεν. Οὐ γὰρ ἂν τοσοῦτον ὑπῆρξεν αὐτῷ διενεγκεῖν ἁπάντων τῇ μουσικῇ[59]· ᾧ γε τοσοῦτον περιῆν[60] τῆς τέχνης, ὥστε καὶ θυμὸν ἐγείρειν διὰ τῆς συντόνου καὶ αὐστηρᾶς ἁρμονίας· καὶ μέντοι καὶ χαλᾷν καὶ μαλάττειν πάλιν διὰ τῆς ἀνειμένης, ὁπότε βούλοιτο. Ταύτῃ τοι, καὶ Ἀλεξάνδρῳ ποτὲ τὸ Φρύγιον ἐπαυλήσαντα, ἐξαναστῆσαι αὐτὸν ἐπὶ τὰ ὅπλα λέγεται μεταξὺ δειπνοῦντα, καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας τὴν ἁρμονίαν χαλάσαντα. Τοσαύτην ἰσχὺν ἔν τε μουσικῇ καὶ τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὴν τοῦ τέλους κτῆσιν ἡ μελέτη παρέχεται!

ιζ΄. Ἐπεὶ δὲ στεφάνων καὶ ἀθλητῶν ἐμνήσθην[61], ἐκεῖνοι, μυρία παθόντες ἐπὶ μυρίοις, καὶ πολλαχόθεν τὴν ῥώμην ἑαυτοῖς συναυξήσαντες, πολλὰ μὲν γυμναστικοῖς ἐνιδρώσαντες πόνοις, πολλὰς δὲ πληγὰς ἐν παιδοτρίβου λαβόντες, δίαιταν δὲ οὐ τὴν ἡδίστην, ἀλλὰ τὴν παρὰ τῶν γυμναστῶν αἱρούμενοι, καὶ τἄλλα, ἵνα μὴ διατρίβω λέγων, οὕτω διάγοντες, ὡς τὸν πρὸ τῆς ἀγωνίας βίον μελέτην εἶναι τῆς ἀγωνίας, τηνικαῦτα ἀποδύονται πρὸς τὸ στάδιον· καὶ πάντα πονοῦσι καὶ κινδυνεύουσιν, ὥστε κοτίνου λαβεῖν στέφανον, ἢ σελίνου, ἢ ἄλλου τινὸς τῶν τοιούτων, καὶ νικῶντες ἀναῤῥηθῆναι παρὰ τοῦ κήρυκος. Ἡμῖν δὲ, οἷς ἆθλα τοῦ βίου πρόκειται οὕτω θαυμαστὰ πλήθει τε καὶ μεγέθει, ὥστε ἀδύνατα εἶναι ῥηθῆναι λόγῳ, ἐπ᾽ ἄμφω καθεύδουσι[62], καὶ κατὰ πολλὴν διαιτωμένοις ἄδειαν, τῇ ἑτέρᾳ λαβεῖν τῶν χειρῶν ὑπάρξει; Πολλοῦ μέντ᾽[63] ἂν ἄξιον ἦν ἡ ῥᾳθυμία τῷ βίῳ· καὶ ὅ γε Σαρδανάπαλος τὰ πρῶτα πάντων εἰς εὐδαιμονίαν ἐφέρετο, ἢ καὶ ὁ Μαργίτης, εἰ βούλει, ὃν οὔτ᾽ ἀροτῆρα, οὔτε σκαπτῆρα, οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτήδειον εἶναι Ὅμηρος ἔφησεν, εἰ δὴ Ὁμήρου ταῦτα[64]. Ἀλλὰ

56) Ἐνν. Γίνεται. 57) Λόγου χάριν. 58) Ἐμφαντ. κατ᾽ εἰρων., ἴδε τὰ λεξ. 59) Τὸ τοσοῦτον διενεγκεῖν ἁπ. τῇ μουσ. οὐκ ἂν ὑπῆρξεν αὐτῷ. 60) Τοσαύτη περιουσία ἦν αὐτῷ τῆς τέχνης. 61) Ἔλλειψιν ἔχει λόγου, οἷον: ἐπεὶ δὲ ἐμνήσθην, προσθετέον κἀκεῖνοι ἢ ἄλλο τι ὅμοιον. 62) Ἐν πάσῃ ἀμεριμνίᾳ: ἡ φράσις παροιμιώδης, ἀνάλογος τῇ τῶν Γάλλων: dormir sur les deux oreilles. 63) Ἀλλ᾽ εἰ οὕτως εἶχε, πολλοῦ ἄξιον ἂν ἦν κτλ.
64) Τὰ σωζόμενα ἐν ἀποσπάσμασιν ἔπη· « Τὸν δ᾽ οὔτ᾽ ἂρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ᾽ ἀ-

μὴν ἀληθὴς μᾶλλον ὁ τοῦ Πιττακοῦ λόγος, ὃς χαλεπὸν ἔφησεν ἐσθλὸν ἔμμεναι[64]. Διὰ πολλῶν γὰρ δὴ τῷ ὄντι[65] πόνων διεξελθοῦσι, μόλις ἂν τῶν ἀγαθῶν ἐκείνων τυχεῖν ἡμῖν περιγένοιτο, ὧν ἐν τοῖς ἄνω[66] λόγοις οὐδὲν εἶναι παράδειγμα τῶν ἀνθρωπίνων ἐλέγομεν.

ιη'. Οὐ δὴ οὖν ῥᾳθυμητέον ἡμῖν, οὐδὲ τῆς ἐν βραχεῖ ῥᾳστώνης μεγάλας ἐλπίδας ἀνταλλακτέον, εἴπερ μὴ μέλλοιμεν ὀνείδη τε ἕξειν, καὶ τιμωρίας ὀφλήσειν, οὔ τι παρὰ τοῖς ἀνθρώποις ἐνθάδε, (καίτοι καὶ τοῦτο οὐ μικρὸν τῷ γε νοῦν ἔχοντι)· ἀλλ' ἐν τοῖς, εἴτε ὑπὸ γῆν, εἴτε καὶ ὅπου δὴ τοῦ παντὸς ὄντα τυγχάνει, δικαστηρίοις[67]. Ὡς τῷ μὲν ἀκουσίως τοῦ προσήκοντος ἁμαρτόντι κἂν συγγνώμη τις ἴσως παρὰ τοῦ Θεοῦ γένοιτο[68]· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ οὐδεμία παραίτησις, τὸ μὴ οὐχὶ[69] πολλαπλασίαν τὴν κόλασιν ὑποσχεῖν.

ιθ'. Τί οὖν ποιῶμεν, φαίη τις ἄν; Τί ἄλλο γε, ἢ τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν, πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγοντας. Οὐ δὴ οὖν τῷ σώματι δουλευτέον, ὅ,τι μὴ πᾶσα ἀνάγκη· ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα ποριστέον, ὥσπερ ἐκ δεσμωτηρίου, τῆς πρὸς τὰ τοῦ σώματος πάθη κοινωνίας αὐτὴν διὰ φιλοσοφίας λύοντας· ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους· γαστρὶ μέν γε τὰ ἀναγκαῖα ὑπηρετοῦντας, οὐχὶ τὰ ἥδιστα. Ὡς οἵ γε τραπεζοποιούς τινας καὶ μαγείρους περινοοῦντες, καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλασσαν, οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες, ἐλεεινοί[70] τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων οὐδὲν πάσχοντες ἀνεκτότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες, καὶ κοσκίνῳ φέροντες ὕδωρ, καὶ εἰς τετρημένον ἀντλοῦντες πίθον[71], οὐδὲν πέρας τῶν πόνων ἔχοντες. Κουρὰς δὲ καὶ ἀμπεχόνας, ἔξω τῶν ἀναγκαίων, περιεργάζεσθαι, ἢ δυστυχούντων ἐστί, κατὰ τὸν Διογένους λόγον, ἢ ἀδικούντων[72]. Ὥστε καλλωπιστὴν εἶναι καὶ ὀνομάζεσθαι ὁμοίως αἰσχρὸν ἡγεῖσθαί φημι δεῖν τοὺς τοιούτους[73], ὡς τὸ ἑταιρεῖν, ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν[74]. Τί γὰρ ἂν διαφέροι τῷ γε νοῦν ἔχοντι ξυστίδα ἀναβεβλῆσθαι, ἤ τι τῶν φαύλων ἱματίων φέρειν, ἕως ἂν μηδὲν ἐνδέῃ τοῦ πρὸς χειμῶνά τε εἶναι[75] καὶ θάλπος ἀλεξιτήριον; Καὶ τ' ἄλλα δὴ τὸν αὐτὸν τρόπον, μὴ περιττότερον τῆς χρείας, κατασκευάζεσθαι[76], μηδὲ περιέπειν τὸ σῶμα πλέον ἢ ὡς ἄμεινον[77] τῇ ψυχῇ. Οὐχ ἧττον γὰρ ὄνειδος ἀνδρί, τῷ γε ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίῳ, καλλωπιστὴν καὶ φιλοσώματον εἶναι, ἢ πρὸς ἄλλο τι τῶν παθῶν ἀγεννῶς διακεῖσθαι. Τὸ γὰρ τὴν πᾶσαν σπουδὴν εἰσφέρεσθαι, ὅπως ὡς κάλλιστα αὐτῷ

---

Οὔτ' ἄλλως τι σοφόν· πάσης δ' ἡμάρτανε τέχνης ». 64) Δωρ. ἢ Αἰολ. ἀντὶ Εἶναι. 65) Περιττὸν φαίνεται τὸ Τῷ ὄντι, παρεισκωμάσαν ἐν τῷ κειμένῳ ἐκ παρασεσημειωμένης ἴσως ἐπεξηγήσεως τοῦ Δή. 66) Ἐν ἀρχῇ τοῦ λόγου, § δ'. 67) Ἐν τοῖς δικαστηρίοις, τοῖς ὑπὸ γῆν, ἢ ὅπου δήποτέ εἰσιν· ἐννοεῖ δὲ τὰ ἐν ᾅδου κολαστήρια. 68) Γένοιτό τις ἂν ἴσως καὶ συγγνώμη παρὰ Θεοῦ. 69) Ἀττικισμός. 70) (Ἐνν.) εἰσὶν ... ἕνεκα. 71) Παροιμίαι ἐπὶ (τῶν) ἀδυνάτων. 72) Διογένης πρὸς τὸ καλλωπιζόμενον μειράκιον, ἔφη· Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. Διογ. Λαέρτ. ΣΤ'. 6, 54. 73) Τοὺς χριστιανῶν παῖδας, οἷοι ὑμεῖς ἐστε. 74) Ἐξήγησις τοῦ ἀνωτέρω ἀτυχεῖν, ἢ ἀδικεῖν, τοῦ Διογένους. 75) Ὅταν οὐδὲν διαφέρῃ πρὸς τὸ εἶναι ψύχους ἢ θάλπους ἀλεξιτήριον· ὅταν δὲν συντελῇ ἢ πρὸς τὸ ἓν ἢ πρὸς τὸ ἄλλο. 76) (ἐστὶ) φημὶ δεῖν. 77) Ἐστί.

τὸ σῶμα ἔχοι, οὐ διαγινώσκοντός ἐστιν ἑαυτὸν, οὐδὲ συνιέντος τοῦ σοφοῦ παραγγέλματος[78], Ὅτι οὐ τὸ ὁρώμενόν ἐστιν ὁ ἄνθρωπος, ἀλλά τινος δεῖ περιττοτέρας σοφίας, δι' ἧς ἕκαστος ἡμῶν ὅστις ποτ' ἐστιν, ἑαυτὸν ἐπιγνώσεται. Τοῦτο δὲ, μὴ καθηραμένοις τὸν νοῦν, ἀδυνατώτερον ἢ λημῶντι πρὸς τὸν ἥλιον ἀναβλέψαι.

κ'. Κάθαρσις δὲ ψυχῆς, ὡς ἀθρόως τε εἰπεῖν καὶ ὑμῖν ἱκανῶς[79], τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν. Μὴ[80] ὀφθαλμοὺς ἑστιᾷν ταῖς ἀτόποις τῶν θαυματοποιῶν ἐπιδείξεσιν, ἢ σωμάτων θέαις, ἡδονῆς κέντρον ἐναφιέντων. Μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν· ἀνελευθερίας γὰρ δὴ καὶ ταπεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιοῦδε τῆς μουσικῆς εἴδους ἐγγίγνεσθαι πέφυκεν· ἀλλὰ τὴν ἑτέραν[81] μεταδιωκτέον ἡμῖν, τὴν ἀμείνω τε καὶ εἰς ἄμεινον φέρουσαν· ᾗ καὶ Δαβὶδ χρώμενος ὁ ποιητὴς τῶν ἱερῶν ᾀσμάτων, ἐκ τῆς μανίας, ὥς φασι, τὸν βασιλέα[82] καθίστη. Λέγεται δὲ καὶ Πυθαγόραν, κωμασταῖς περιτυχόντα μεθύουσι, κελεῦσαι τὸν αὐλητὴν, τὸν τοῦ κώμου κατάρχοντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαι σφισι τὸ δώριον· τοὺς δὲ, οὕτως ἀναφρονῆσαι ὑπὸ τοῦ μέλους, ὥστε, τοὺς στεφάνους ῥίψαντας, αἰσχυνομένους ἐπανελθεῖν. Ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύονται. Τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας ἀναπλησθῆναι! Ὥστε τῆς νῦν δὴ κρατούσης ταύτης ἧττον ἡμῖν μεθεκτέον ἢ οὑτινοσοῦν τῶν αἰσχίστων. Ἀτμοὺς γε μὴν παντοδαποὺς, ἡδονὴν ὀσφρήσει φέροντας, τῷ ἀέρι καταμιγνύναι, ἢ μύροις ἑαυτοὺς ἀναχρώννυσθαι, καὶ ἀπαγορεύειν αἰσχύνομαι. Τί δ' ἄν τις εἴποι περὶ τοῦ μὴ χρῆναι τὰς ἐν ἁφῇ καὶ γεύσει διώκειν ἡδονὰς, ἢ ὅτι καταναγκάζουσιν αὗται τοὺς περὶ τὴν ἑαυτῶν θήραν ἐσχολακότας, ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαστέρα καὶ τὰ ὑπ' αὐτὴν συννενευκότας ζῆν;

κα'. Ἑνὶ δὲ λόγῳ, παντὸς ὑπεροπτέον τοῦ σώματος τῷ μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι[83] μέλλοντι· ἢ, τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένου· ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ[84] μηδεμίαν χρῆναι τοῦ σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμήν. Ἢ τί διαφέρουσιν, οἳ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιστα ἔχοι, φροντίζουσι, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν, ὡς οὐδενὸς ἀξίαν, περιορῶσι, τῶν περὶ τὰ ὄργανα σπουδαζόντων, τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης καταμελούντων; Πᾶν μὲν οὖν[85] τοὐναντίον, κολάζειν αὐτοῦ καὶ κατέχειν, ὥσπερ θηρίου, τὰς ὁρμὰς προσῆκε, καὶ τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους τῇ ψυχῇ, οἱονεὶ μάστιγι τῷ λογισμῷ καθικνουμένους, κοιμίζειν· ἀλλὰ μὴ, πάντα χαλινὸν ἡδονῆς ἀνέντας, περιορᾷν τὸν νοῦν, ὥσπερ ἡνίοχον ὑπὸ δυσηνίων ἵππων, ὕβρει φερομένων, παρασυρόμενον ἄγεσθαι. Καὶ τοῦ Πυθαγόρου μεμνῆσθαι· ὃς τῶν συνόντων τινὰ καταμαθὼν

---

78) Τοῦ «Γνῶθι σαυτόν». 79) Ἀναλόγως τῇ ἡλικίᾳ σας. 80) Ὡς ἐπεξήγησις τοῦ ἀτιμάζειν τὰς διὰ τῶν αἰσθ. ἡδ. 81) Μουσικήν. 82) Τὸν Σαοὺλ, ἴδε Βασιλ. Α', ΙϚ', 23. 83) Σημειωτέον τὸ Μέλλω πρὸς παρῳχημένον. 84) Ἐν τῇ πρὸς Ῥωμ. ιγ', 14: «Ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας». 85) Ἐν ᾧ μάλιστα.

ΙΩΑΝΝΙΝΑ 2006

γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦντα, Ὦ οὗτος, ἔφη, οὐ παύσῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ δεσμωτήριον; Διὸ δὴ καὶ Πλάτωνά φασι[86], τὴν ἐκ τοῦ σώματος βλάβην προειδόμενον, τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς τὴν Ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος, οἷον ἀμπέλου τὴν εἰς τὰ περιττὰ φορὰν, περικόπτῃ. Ἐγὼ δὲ καὶ σφαλερὰν εἶναι τὴν ἐπ' ἄκρον εὐεξίαν ἰατρῶν[87] ἤκουσα[88].

κδ'. Ὅτε τοίνυν ἡ ἄγαν αὕτη τοῦ σώματος ἐπιμέλεια αὐτῷ τε ἀλυσιτελὴς τῷ σώματι, καὶ πρὸς τὴν ψυχὴν ἐμπόδιόν ἐστι, τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν, μανία σαφής. Ἀλλὰ μὴν, εἰ τούτου γε περιορᾷν μελετήσαιμεν, σχολῇ γ' ἂν ἄλλο τι τῶν ἀνθρωπίνων θαυμάσαιμεν. Τί γὰρ ἔτι χρησόμεθα πλούτῳ, τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες; Ἐγὼ μὲν οὐχ ὁρῶ πλὴν εἰ μὴ, κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας[89], ἡδονήν τινα φέρει θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. Ὅ γε μὴν ἐλευθερίως πρὸς τὰ τοιαῦτα διακεῖσθαι πεπαιδευμένος, πολλοῦ ἂν δέοι ταπεινόν τι καὶ αἰσχρὸν ἔργῳ ἢ λόγῳ ποτὲ προελέσθαι· τὸ γὰρ τῆς χρείας περιττότερον, κἂν Λύδιον ᾖ ψῆγμα[90], κἂν τῶν μυρμήκων ἔργον τῶν χρυσοφόρων[91], τοσούτῳ πλέον ἀτιμάσει, ὅσῳπερ ἂν ἧττον προσδέηται· αὐτὴν δὲ δήπου τὴν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις, ἀλλ' οὐ ταῖς ἡδοναῖς ὁριεῖται. Ὡς οἵ γε τῶν ἀναγκαίων ὅρων ἔξω γενόμενοι, παραπλησίως τοῖς κατὰ τοῦ πρανοῦς φερομένοις, πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ' ὅσῳπερ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται, ἢ καὶ πλείονος, πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὅς φησι·

> Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.

Τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον λέγοντι·

> Οὐκ ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι· ἀλλά μοι εἴη
> Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

κγ'. Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων ὑπεροψίαν· ὅς γε καὶ βασιλέως τοῦ μεγάλου ἑαυτὸν ἀπέφαινε πλουσιώτερον, τῷ ἐλαττόνων, ἢ ἐκεῖνος, κατὰ τὸν βίον προσδεῖσθαι. Ἡμῖν δὲ ἄρα, εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ[92] προσείη τάλαντα, καὶ πλέθρα γῆς τόσα, καὶ τόσα, καὶ βοσκημάτων ἑσμοὶ πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει! Ἀλλ', οἶμαι, προσήκει ἀπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον, καὶ παρόντος, μὴ διὰ τὸ κεκτῆσθαι μᾶλλον φρονεῖν, ἢ τῷ εἰδέναι αὐτὸν διατίθεσθαι. Τὸ γὰρ τοῦ Σωκράτους εὖ ἔχει· ὃς, μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασιν, οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη, πρὶν ἂν, καὶ ὅτι χρῆσθαι τούτοις ἐπίσταται, πειραθῆναι. Ἢ Φειδίας μὲν καὶ Πολύκλειτος, εἰ τῷ χρυσίῳ μέγα ἐφρόνουν καὶ τῷ ἐλέφαντι, ὧν ὁ μὲν, Ἠλείοις τὸν Δία, ὁ δὲ, Ἀργείοις τὴν

---

86) Αἰλ. Ποικίλ. Ἱστορ. Θ', ι. 87) Ἱπποκρ. Ἀφορ. 88) (ἀντ.) λεγόντων. 89) Καὶ καθ' ἡμᾶς εἰσέτι τῶν ἐν τοῖς κοινοῖς μύθοις θησαυρῶν δράκοντες μυθεύονται φύλακες, ὡς καὶ τὸ πάλαι τοῦ χρυσοῦ δέρατος καὶ τῶν χρυσῶν μήλων κτλ. 90) Τὸ καταφερόμενον διὰ τοῦ Πακτωλοῦ, ὅθεν καὶ τὰ μυρία τοῦ Κροίσου πλούτη. 91) Ἴδε Ἡροδ. Γ', ρβ'—ρέ.

92) Ἡρόδοτος δὲ Λυδὸν αὐτὸν λέγει, Πολύαιν. η'.

Ἥραν ἐποιησάτην[93], καταγελάστω ἂν ἤστην, ἀλλοτρίῳ πλούτῳ καλλωπιζόμενοι, ἀφέντες τὴν τέχνην, ὑφ' ἧς καὶ ὁ χρυσὸς ἡδίων καὶ τιμιώτερος ἐπεδείχθη· ἡμεῖς δὲ, τὴν ἀνθρωπείαν ἀρετὴν οὐκ ἐξαρκεῖν καθ' ἑαυτὴν πρὸς κόσμον ὑπολαμβάνοντες, ἐλάττονος αἰσχύνης ἄξια ποιεῖν οἰόμεθα;

κδ'. Ἀλλὰ δὴ τοῦ πλούτου μὲν ὑπερορψόμεθα, καὶ τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάσομεν· κολακείας δὲ καὶ θωπείας διωξόμεθα, καὶ τῆς Ἀρχιλόχου ἀλώπεκος[94] τὸ κερδαλέον τε καὶ ποικίλον ζηλώσομεν; Ἀλλ' οὐκ ἔστιν, ὃ μᾶλλον φευκτέον τῷ σωφρονοῦντι, τοῦ πρὸς δόξαν[95] ζῆν, καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα περισκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου, ὥστε, κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγειν, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν. Ἢ τὸν μὴ οὕτως ἔχοντα, τί τοῦ Αἰγυπτίου σοφιστοῦ[96] φήσομεν ἀπολείπειν· ὃς φυτὸν ἐγίγνετο, καὶ θηρίον, ὁπότε βούλοιτο, καὶ πῦρ, καὶ ὕδωρ, καὶ πάντα χρήματα; Εἴπερ δὴ καὶ αὐτὸς νῦν μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι, νῦν δὲ τοὺς ἐναντίους ἀφήσει λόγους, ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦσαν αἴσθηται, ὅπερ δίκη[97] ἐστὶ κολάκων. Καὶ ὥσπερ φασὶ τὸν πολύποδα τὴν χρόαν πρὸς τὴν ὑποκειμένην γῆν[98], οὕτως αὐτὸς τὴν διάνοιαν πρὸς τὰς τῶν συνόντων γνώμας μεταβαλεῖται.

κε'. Ἀλλὰ ταῦτα μέν που κἂν τοῖς ἡμετέροις λόγοις τελειότερον μαθησόμεθα· ὅσον δὲ σκιαγραφίαν τινὰ τῆς ἀρετῆς, τό γε νῦν εἶναι, ἐκ τῶν ἔξωθεν παιδευμάτων περιεγραψάμεθα. Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασι. Τὸ γὰρ καὶ σμικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι, κατὰ τὸν Ἡσίοδον[99], οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην, ἢ καὶ εἰς ἡντιναοῦν ἐπιστήμην, ὀρθῶς ἡγεῖσθαι ἔχειν τῷ ποιητῇ προσῆκεν. Ὁ μὲν οὖν Βίας τῷ υἱεῖ, πρὸς Αἰγυπτίους ἀπαίροντι, καὶ πυνθανομένῳ, Τί ἂν ποιῶν, αὐτῷ μάλιστα κεχαρισμένα πράττοι; Ἐφόδιον, ἔφη, πρὸς γῆρας κτησάμενος· τὴν ἀρετὴν δὴ τὸ ἐφόδιον λέγων, μικροῖς ὅροις αὐτὴν περιγράφων, ὅς γε ἀνθρωπίνῳ βίῳ τὴν ἐπ' αὐτῆς ὠφέλειαν ὡρίζετο.

κϛ'. Ἐγὼ δὲ, κἂν τὸ Τιθωνοῦ τις γῆρας[100], κἂν τὸ Ἀργανθωνίου[101] λέγῃ, κἂν τὸ τοῦ μακροβιωτάτου παρ' ἡμῖν Μαθουσάλα, ὃς χίλια ἔτη, τριάκοντα δεόντων βιῶναι λέγεται[102], κἂν σύμπαντα τὸν[103], ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, χρόνον ἀναμετρῇ, ὡς ἐπὶ παίδων διανοίας γελάσομαι, εἰς τὸν μακρὸν ἀποσκοπῶν καὶ ἀγήρω αἰῶνα, οὗ πέρας οὐδέν ἐστι τῇ ἐπινοίᾳ

93) Σημειωτέα ἡ τῆς συντάξεως ποικιλία, τὰ δύο ἑνικὰ πρὸς δυϊκόν, ἀνωτ. δὲ πρὸς πληθυντικόν· ἔπειτα τὸ μὲν τῶν ἐπιθέτων δυϊκόν, τὸ δὲ πληθυντικόν. Ὅθεν ϗ συμπεραίνουσι πολλοὶ δικαίως, ὅτι πρὸς ἐπίδειξιν ἑλληνισμοῦ συνέταξεν ὁ θεῖος πατὴρ τὸν λόγον, ἐπιστομίζων τοὺς μυκτηρίζοντας τὴν ἁπλότητα ϗ ἀφέλειαν τῶν χριστιανῶν συγγραφῶν. 94) Ἰδ. Πλάτ. Πολιτ. Β'. 95) Κατὰ τὴν τῶν πολλῶν ἰδέαν. 96) Τοῦ Πρωτέως. Ἰδ. Ὀδυσ. Δ, 455, κ. ε. ϗ Λουκ. Διαλόγ. Μενελ. ϗ Πρωτ. 97) Ἰδ. Λεξ. Β. Βυζ. ἐν.

98) Ἐννοεῖται κατὰ συνεκδοχὴν Μεταβάλλειν. 99) Ἔργ. καὶ Ἡμέρ. 461, 462.

100) Ἰδ. Λουκ. Ἑρμοτ. 50. 101) Λουκιανὸς ἐν τῷ περὶ Μακροβίων 150 ἔτη βεβιωκέναι λέγει τὸν Ἀργανθώνιον. 102) Γενέσ. Ε', 27. 103) Παράβαλ. § ϛ'.

ΙΩΑΝΝΙΝΑ 2006

λαβεῖν, οὐ μᾶλλόν γε ἢ τελευτὴν ὑποθέσθαι τῆς ἀθανάτου ψυχῆς. Πρὸς ὅνπερ[103*] κτᾶσθαι παραινέσαιμ' ἂν τὰ ἐφόδια, πάντα λίθον, κατὰ τὴν παροιμίαν, κινοῦντας, ὅθεν ἂν μέλλῃ τις ἡμῖν ἐπ' αὐτὸν ὠφέλεια γενήσεσθαι. Μηδ' ὅτι χαλεπὰ ταῦτα καὶ πόνου δεόμενα, διὰ τοῦτ' ἀποκνήσωμεν· ἀλλ', ἀναμνησθέντες τοῦ παραινέσαντος, ὅτι δέοι βίον μὲν ἄριστον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾶν τῇ συνηθείᾳ γενήσεσθαι, ἐγχειρεῖν[104] τοῖς βελτίστοις. Αἰσχρὸν γάρ, τὸν παρόντα καιρὸν προϊεμένους, ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθόν, ὅτε οὐδὲν ἔσται πλέον[105] ἀνιωμένοις.

κζ'. Ἐγὼ μὲν οὖν, ἃ κράτιστα[106] εἶναι κρίνω, τὰ μέν, νῦν εἴρηκα· τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν συμβουλεύσω. Ὑμεῖς δέ, τριῶν ἀρρωστημάτων ὄντων, μὴ τῷ ἀνιάτῳ προσεοικέναι δόξητε, μηδὲ τὴν τῆς γνώμης νόσον παραπλησίαν τῇ τῶν εἰς τὸ σῶμα δυστυχησάντων δείξητε. Οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ παρὰ τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀρρωστημάτων, ἐφ' ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας· οἱ δ' εἰς ἀνήκεστον παντελῶς μελαγχολίας παρενεχθέντες, οὐδὲ προσιόντας προσίενται. Ὃ μὴ πάθητε νῦν ὑμεῖς, τοὺς ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀποφεύγοντες.

---

103*) Τὸν ἀγήρω αἰῶνα. 104) Διορθοῦσί τινες εἰς ἐριστικήν· ἀλλ' ἐπειδή, καθὼς εἴπομεν (σχόλ. 93) ὁ λόγος ἐγράφη πρὸς ἐπίδειξιν δεινότητος καὶ κάλλους, διὰ τοῦτο τὸ ἀπαρέμφατον ἐξαρτᾶται κατὰ σχῆμα λόγου ἀπὸ τοῦ Παραινέσαιμι. 105) Περίφρασις, ἀντὶ οὐδὲν ἀνύσετε. 106) Ἐκείνων δ. (ἵνα εὖ ἔχῃ ὁ μερισμός).

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006